τὸν πατέρα ἔν τε τοῖς κοινοῖς καὶ πρὸς τοὺς ἰδιώτας, εὐσεβείᾳ δὲ ἐς πλέον προέβη. καὶ γὰρ τοῦ Διὸς τὸ ἐπὶ τῇ 287 κορυφῇ τῆς Ἰθώμης τέμενος, ἄνευ τῶν Πολυκάονος[35] καὶ Μεσσήνης, οὐκ ἔχον παρὰ τοῖς Δωριεῦσί πω τιμὰς, Γλαῦκος ἦν ὁ καὶ τούτοις σέβειν καταστησάμενος· καὶ Μαχάονι τῷ Ἀσκληπιοῦ[36] πρῶτος ἔθυσεν ἐν Γερηνίᾳ, γέρα δὲ ἀπένειμε Μεσσήνῃ τῇ Τριόπα τὰ νομιζόμενα ἥρωσιν. Ἴσθμιος δὲ ὁ Γλαύκου καὶ ἱερὸν τῷ Γοργάσῳ καὶ Νικομάχῳ τὸ ἐν Φαραῖς[37] ἐποίησεν. Ἰσθμίου δὲ γίνεται Δωτάδας, ὃς ἐπίνεια καὶ ἄλλα τῆς Μεσσηνίας παρεχομένης τὸ ἐν Μοθώνῃ[38] κατεσκευάσατο. Συβότας[39] δὲ ὁ Δωτάδα τῷ τε ποταμῷ κατεστήσατο τῷ Παμείσῳ κατὰ[40] ἔτος ἕκαστον θύειν τὸν βασιλεύοντα, καὶ Εὐρύτῳ τῷ Μελανέως ἐναγίζειν ἐν Οἰχαλίᾳ πρὸ τῆς τελετῆς[41] τῶν μεγάλων θεῶν ἀγομένης ἔτι ἐν Ἀνδανίᾳ.

aequitate, deorum vero cultu multo superior. Etenim quum in Iovis fano, quod in Ithomes vertice fuit, apud Dorienses Polycaon et Messene non colerentur, Glaucus, illis ut sui haberentur honores, instituit. Idemque Machaoni Aesculapii filio primus in Gerenia rem divinam fecit, et Messenae Triopae filiae solita heroibus decerni munera dedicavit. *Cuius pietatem* Isthmius eius filius *imitatus,* Gorgaso et Nicomacho Pheris templum erexit. Isthmio Dotadas genitus: qui ad cetera navalia, quae tunc in Messenia fuerunt, unum Mothonae munivit. Succedit Dotadae filius Sybotas. Is ut reges Pamiso amni anniversaria sacra facerent iussit, et ut ante magnarum dearum (quae ipso etiam regnante Andaniae celebrabantur) initia Euryto Melanei filio parentaretur Oechaliae.

35. πολυκάωνος—δωριεῦσιν Ag. οὐκ ἔσχον La.

36. τῷ ἀσκληπίονι ἀσκληπιοῦ Ag. Mox ἀπένημεν Vb.

37. Φαραῖς CSB; Φεραῖς Edd. rell. Codd. Tum ἰσθίου Lb.

38. μεθώνῃ PdAgM (in M super ω est ο, μεθὤνῃ sec. exc. nostra); τῷ ἐν μεθώνῃ Va.

39. συμβώτας PdAg; συβώτας Va. tum δωδότα Ag; δωδάτα Pd; δοτάδα et ω supr. lin., Vb.

40. καὶ MLb. καὶ κατὰ La. mox εὐρώτῳ La.

41. τελευτῆς PdAg. τῶν μεγαρέων La. mox ἀνδηνίᾳ M.



ZBIORNICA Księgozbiorów Zabezpieczonych

## CAPUT IV.

Phinta regnante Messenii primum chorum in Delum mittunt et prima inter Messenios et Lacedaemonios discordia exoritur — eius causa narratur — Phintae filiis regnantibus primum bellum Messenicum suscipitur — de bubus Polycharis ab Euaephno venditis, causa belli, narratio.

Ἐπὶ δὲ Φίντα τοῦ Συβότα[1] πρῶτον Μεσσήνιοι τότε τῷ Ἀπόλλωνι ἐς Δῆλον θυσίαν καὶ ἀνδρῶν χορὸν ἀποστέλλουσι. τὸ δέ σφισιν ᾆσμα προσόδιον ἐς τὸν θεὸν ἐδίδαξεν Εὔμηλος, εἶναί τε ὡς ἀληθῶς Εὐμήλου νομίζεται μόνα τὰ ἔπη ταῦτα. Ἐγένετο δὲ καὶ πρὸς Λακεδαιμονίους ἐπὶ τῆς Φίντα βασιλείας διαφορὰ[2] πρῶτον, ἀπὸ αἰτίας ἀμφισβη-
τουμένης μὲν καὶ ταύτης, γενέσθαι δὲ οὕτω[3] λεγομένης.
2 (2) Ἔστιν ἐπὶ τοῖς ὅροις τοῖς[4] Μεσσηνίας ἱερὸν Ἀρτέμι-
δος καλουμένης Λιμνάτιδος, μετεῖχον δὲ αὐτοῦ μόνοι
Δωριέων οἵ τε Μεσσήνιοι καὶ οἱ Λακεδαιμόνιοι. Λακεδαι-
μόνιοι μὲν δή φασιν ὡς παρθένους αὑτῶν[5] παραγενομέ-
288 νας ἐς τὴν ἑορτὴν αὐτάς τε βιάσαιντο ἄνδρες τῶν Μεσση-
νίων[6] καὶ τὸν βασιλέα σφῶν ἀποκτείναιεν πειρώμενον κω-

Cap. IV. Iam vero Phinta regnante, Sybotae filio, Apollini primum Messenii sacrum cum virorum choro Delon miserunt. Iis canticum, quo deum salutarent, (Prosodium appellant) fecit Eumelus: et haec certe carmina sola sunt, quae Eumelum fecisse pro comperto habetur. Huius ipsius Phintae temporibus discordiarum semina (incertum quanam ex causa) inter Messenios et Lacedaemonios extitere. Causa tamen huiusmodi prodita est. In Messeniorum finibus Dianae Limnatidis cognomento templum fuit, commune solis Doriensium Messeniis et Lacedaemoniis, nulli praeterea civitati. Ad illud templum missas a se de more virgines violatas a Messeniis Lacedaemonii commemorant, ac regem

Cap. IV. 1. συβώτα — ἐν δῆλον Va. Mox ἀποστέλλουσιν AgPd.
2. διαφορὰ CSBPcdAgVa (?); διάφορα AXKFM(?)Lab; διάφορα πρῶτον Vb.
3. οὔπω VaMLb. λεγομένῳ La.
4. τοῖς Μεσσ. SBPdMVa (?); τῆς Μεσσ. AXKFCPcAgVbLab.
5. αὑτῶν B; αὐτῶν edd. rell. Tum παραγενομένας CSB ex em. K, RAgLb; παραγομένας AXKFVb PcMLa, marg. R. Nihil enotavimus e Va. Tum ἑωρτὴν Vb, βιάσαιτο Va.
6. μεσηνίων R; mox τῶν βασ. Va. ἀποκτείναιεν CSB e coni. Sylb. ἀποκτεῖναι AXKFRVb; ἀποκτεῖναι τὸν MPcAgVaLab.

λύειν, Τήλεκλον[7] Ἀρχελάου τοῦ Ἀγησιλάου τοῦ Δορύσσου τοῦ Λαβώτα τοῦ Ἐχεστράτου τοῦ[8] Ἄγιδος. πρός τε δὴ τούτοις τὰς βιασθείσας τῶν παρθένων διεργάσασθαι λέγουσιν αὑτὰς ὑπὸ αἰσχύνης. Μεσσήνιοι δὲ τοῖς ἐλθοῦσι[9] 3
σφῶν ἐς τὸ ἱερὸν πρωτεύουσιν ἐν Μεσσήνῃ κατὰ ἀξίωμα, τούτοις φασὶν ἐπιβουλεῦσαι Τήλεκλον[10] (αἴτιον δὲ εἶναι τῆς χώρας τῆς Μεσσηνίας τὴν ἀρετὴν), ἐπιβουλεύοντα δὲ ἐπιλέξαι Σπαρτιατῶν ὁπόσοι πω γένεια οὐκ εἶχον, τούτους[11] δὲ ἐσθῆτι καὶ κόσμῳ τῷ λοιπῷ σκευάσαντα ὡς παρθένους ἀναπαυομένοις τοῖς Μεσσηνίοις ἐπεισαγαγεῖν, δόντα ἐγχειρίδια· καὶ τοὺς Μεσσηνίους ἀμυνομένους[12] τούς τε ἀγενείους νεανίσκους καὶ αὐτὸν ἀποκτεῖναι Τήλεκλον· Λακεδαιμονίους δὲ (οὐ γὰρ ἄνευ τοῦ κοινοῦ ταῦτα βουλεῦσαι σφῶν τὸν βασιλέα) συνειδότας ὡς ἄρξαιεν ἀδικίας, τοῦ φόνου σφᾶς τοῦ Τηλέκλου δίκας οὐκ ἀπαιτῆσαι. ταῦτα μὲν[13] ἑκάτεροι λέγουσι, πειθέσθω δὲ ὡς ἔχει τις ἐς τοὺς ἑτέρους σπουδῆς.

etiam suum Teleclum Archelai filium, Agesilai nepotem, Dorysso, Labota, Echestrato, Agide, proavis oriundum, iniuriam propulsare conantem, interemptum: et ipsas quidem virgines dedecus voluntaria morte redemisse. At Messenii *longe diversa fama vulgarunt:* ad templum venientibus primoribus a Teleclo insidias factas. Nam quum Messeniam Lacedaemonii propter agri bonitatem in primis appeterent, disposuisse illum impuberes in morem virginum ornatos cum pugionibus, qui illos ex improviso sedentes adorirentur. Ibi Messenios ad vim arcendam accurrisse, et quum Teleclum ipsum, tum vero impuberes illos omnes occidisse. Lacedaemonios quidem, quod esset facinus publico consilio patratum, conscios a se iniuriam profectam, Telecli caedem ut ulciscerentur in animum non induxisse. Haec ab utrisque prodita sunt: credat vero quisque proinde ac in alterutram sit

7. τήλεχρον Pc. tum Ἀρχελάου XKFCSB. ἀρχαλάδου LabMPc, Ag, in quo primum fuit ἀρκάδου. ἀρχαδάλου Va. τήλεκλον ἀρχάδου τοῦ ἀγ. τοῦ δορύσου τοῦ λαβῶτα Vb. δερύσσου La.

8. τοῦ om. AVabLa. ἄσιδος A VabLbAgPd. ἀσίδος La.

9. ἐλθοῦσιν AgPd.

10. Post Τήλεκλον Cod. Phral. inserit: τὸν Λακεδαιμονίων βασιλέα. tum αἴτιος MVaLb.

11. τούτοις MLb; αἰσθῆτι Vb. ἐπισαγαγεῖν La.

12. ἀμεινομένους Pd. mox αὐτὸν ἀποκτεῖναι Sylb. FCSBMPcdAgVa Lb Cod. Phral. ἀποκτ. αὐτον AX K; αὐτὸν τηλ. ἀποκτ. Vb. τὸν αὐτὸν τήλ. ἀποκτ. La. tum σφῶν βουλεῦσαι M. Deinde συνιδότας Vab.

13. μὲν οὖν Edd. ante B, VabM Lab; οὖν om. BPcdAg. mox λέγουσιν M.

4 (3) *Γενεᾷ*[14] *δὲ ὕστερον βασιλεύοντος ἐν Λακεδαίμονι Ἀλκαμένους τοῦ Τηλέκλου, τῆς δὲ οἰκίας τῆς ἑτέρας Θεοπόμπου τοῦ Νικάνδρου τοῦ Χαρίλλου τοῦ Πολυδέκτου τοῦ Εὐνόμου τοῦ Πρυτάνιδος τοῦ Εὐρυπῶντος, Μεσσηνίων δὲ*[15] *Ἀντιόχου καὶ Ἀνδροκλέους τῶν Φίντα, Λακεδαιμονίων καὶ Μεσσηνίων ἐξήρθη τὸ ἐς ἀλλήλους μῖσος, καὶ ἦρξαν οἱ Λακεδαιμόνιοι πολέμου ἐπιγενομένης*[16] *ἀφορμῆς σφίσιν ἐθελέχθρως μὲν ἔχουσι*[17] *καὶ πολεμῆσαι πάντως ἐγνωκόσιν οὐ μόνον ἀποχρώσης ἀλλὰ καὶ τὰ μάλιστα εὐπροσώπου· μετὰ δὲ εἰρηνικωτέρας γνώμης κἂν διελύθη δικα-*
5 *στηρίου γνώσει. τὰ δὲ συμβάντα ἔσχεν οὕτω.* (4) *Πολυχάρης Μεσσήνιος τά τε ἄλλα οὐκ ἀφανὴς*[18] *καὶ νίκην Ὀλυμπίασιν ἀνῃρημένος (τετάρτην Ὀλυμπιάδα ἦγον Ἠλεῖοι, καὶ ἀγώνισμα ἦν σταδίου μόνον, ὅτε ὁ Πολυχάρης ἐνίκησε) — τούτῳ τῷ ἀνδρὶ ἐγένοντο βοῦς, καὶ (οὐ γὰρ ἐκέκτητο*

studiis civitatem propensior. (3) Post haec, exacta ferme aetate una, Alcamene Telecli filio Spartae imperante, ex altera vero regia familia Theopompo Nicandri filio, qui per posteritatis gradus VI a Charillo, Polydecte, Eunomo, Prytanide, Eurypoute descendit, in Messeniis vero Antiocho et Androcle Phintae filiis, utriusque populi simultas in apertum bellum erupit. Priores Lacedaemonii arma cepere. Causa fuit eiusmodi, ut ad permovendos pacatos etiam et integros animos, nedum odio corruptos et exulceratos, et qui in belli cupiditatem iam plus nimio incubuerant, gravis, et ipsa rei quasi figura aequa videri potuerit: iure tamen et disceptatione controversiam omnem dirimere non fuisset difficillimum futurum, si animi ad pacem *quam ad bellum* fuissent propensiores. Res ita propemodum gesta est. (4) Polychares quidam Messenius fuit, quum cetera minime obscurus, tum vero Olympica palma nobilitatus. Quarta enim Olympiade, quum apud Eleos unicum esset de stadio certamen, victor renunciatus est. Is boves habuit multas: quibus alendis quum

14. *γενεὰ δὴ* Lb. mox *τοῦ ἐννόμου* AMVabLb; mox *ἐρυπῶντος* Ag.
15. *δὲ* om. La. tum *τῶν Φίντα* CSBPcdLaAg, marg. R, ut Sylb. F voluerunt: *τὸν*, p. corr. *τῶν*, *φ.* Lb. *τοῦ φ.* AXKFR. E collationum silentio concludimus in M *τοῦ*, in Vab *τῶν* legi. Tum *λακεδαιμονίων καὶ λακεδαιμονίων καὶ μεσσηνίων* M.

16. *ἐπιγενομένης δὲ ἀφ.* VbLa.
17. *ἔχουσιν* Ag. mox *εἰρηνικωτέρους* Vb.
18. *οὐκ ἀφανὴς, ἣν καὶ* AS. *οὐκ ἀφανὴς ἦν, καὶ* XKFC. *οὐκ ἀφανὴς καὶ* BPcdAgMVabLab. Tum *ὀλυμπίασιν* SBLa; *ὀλυμπιάσιν* edd. rell. VbLb; *ὀλυμπιᾶσιν* M. mox *ἠλίοι* La.

ἰδίαν γῆν ὡς νομὰς ταῖς[19] βουσὶν ἱκανὰς εἶναι) Σπαρ- 289
τιάτῃ σφᾶς δίδωσιν Εὐαίφνῳ βόσκεσθαί τε ἐν ἐκείνου
καὶ μοῖραν εἶναι καὶ Εὐαίφνῳ[20] τοῦ καρποῦ τῶν βοῶν.
ἦν δὲ ἄρα τοιόσδε τις ὁ Εὔαιφνος κέρδη τε ἄδικα ἐπίπρο- 6
σθεν ἢ πιστὸς εἶναι ποιούμενος καὶ ἄλλως αἱμύλος· ὃς
καὶ τότε καταπλεύσασιν[21] ἐς τὴν Λακωνικὴν ἐμπόροις ἀπο-
δόμενος βοῦς τὰς Πολυχάρους ἦλθεν αὐτὸς ὡς Πολυχά-
ρην[22] ἄγγελος, ἐλθὼν δὲ ἀποβάντας ἔλεγεν ἐς τὴν χώραν
λῃστὰς καὶ βιασαμένους αὐτὸν[23] λείαν βοῦς τε ἄγεσθαι καὶ
βουκόλους. ἕως δὲ οὗτος παρέπειθεν, ἐν τούτῳ τῶν τις
βουκόλων ἀποδιδράσκει τοὺς ἐμπόρους, ἐπανήκων δὲ κα-
ταλαμβάνει τε αὐτοῦ[24] παρὰ τῷ δεσπότῃ τὸν Εὔαιφνον
καὶ Πολυχάρους ἐναντίον ἤλεγχεν. ἁλισκόμενος δὲ καὶ 7
οὐκ ἔχων[25] ἀπαρνήσασθαι πολλὰ μὲν αὐτὸν Πολυχάρην,
πολλὰ δὲ καὶ τοῦ Πολυχάρους τὸν παῖδα ἱκέτευε νεῖμαί οἱ
συγγνώμην· ἐν γὰρ τῇ ἀνθρωπίνῃ φύσει καὶ ἄλλων ἐνόν-

propria non suppeditarent pascua, locavit eas Spartano homini Euaephno in ipsius agro pascendas, ea mercede, ut esset fructus, qui e bobus perciperetur, particeps. Erat eiusmodi vir ille, ut perfacile quaestui fidem posthaberet: alioqui disertus et blandus. Is mercatoribus, qui in Laconiam navibus venerunt, pecus venundedit; atque inde *quasi inopinatae rei* nuncius ultro ad Polycharen venit, praedones excursione in eum agrum compascuum facta extortaque sibi per vim praeda boves et simul bubulcos abegisse. Interea dum is fallaciter commentum Polychari persuadet, de bubulcis unus a mercatoribus aufugit. Qui reversus Euaephnum ibi apud dominum deprehendit et coram Polychare redarguit. Convictus is quum pernegare non posset, *ad preces confugit*, supplexque id sibi ut ignosceret quum Polycharem ipsum tum eius filium rogabat: magnam enim vim in hominum

19. *νομάς τεβουσὶν* Vb. *τε* binis punctulis notatum. *τοῖς βουσὶν* La.
20. *εὐέφνῳ* Ag; mox *εὐαίφνος* Vb. *κέρδη δὲ ἄδ.* La.
21. *καταπλεύσασιν — ἀποδόμενος* CSB ex em. K. *καταπλεύσας — ἀποδωσόμενος* (*ἀποδοσομένους* Vb. *ἀποδοσόμενος* Lb. *ἀποδησόμενος* La.) AXKFPcdAgMVabLab.
22. *πολυχάριν* Vb. mox *δὲ ὡς ἀποβάντας* M (*δὲ ἐς ἀποβ.* sec. exc. nostra) PcdAgVaLb.
23. *αὐτὸν* a sec. man. Va. *λίαν βοῦς δέ τε* La. *λέαν* AgPcdMVa. mox *ἀγαγέσθαι* Coraes, quod verum videtur. Mox *τοῦτος*, expuncto *τ*, Vb. *οὕτως* La, quod non displicet.
24. *αὐτοῦ* B, in corrigendis restituitur *αὐτοῦ*; *δεσπότει* M; *ἄλλην* pro *αὐτοῦ* Va.
25. *εἶχον* La. *ἱκέτευε νεῖμαι* B. *ἱκέτευεν εἶναι* Edd. rell., Codd. Ita IV, 30, 1. Mosc. *γέρα εἶναι* pro *νεῖμαι*. Tum *ἐν φ' οἷς* (sic) Va.

των ἐφ᾽ οἷς βιαζόμεθα ἄδικοι γίνεσθαι, τὰ κέρδη μεγίστην ἀνάγκην ἔχειν.[26] τιμὴν δὲ ἥντινα εἰλήφει τῶν βοῶν λόγῳ τε ἀπέφαινε,[27] καὶ τὸν παῖδα ἠξίου τὸν Πολυχάρους ἕπεσθαί οἱ κομιούμενον. ὡς δὲ προϊόντες ἐγίγνοντο[28] ἐν τῇ Λακωνικῇ, ἔργον ἐτόλμησεν Εὔαιφνος ἀνοσιώτερον τοῦ
8 προτέρου· φονεύει τοῦ Πολυχάρους τὸν υἱόν. ὁ δὲ ὡς
290 καὶ ταῦτα ἔγνω πεπονθὼς, φοιτῶν ἐς τὴν Λακεδαίμονα τοῖς βασιλεῦσιν ἦν καὶ τοῖς ἐφόροις δι᾽ ὄχλου[29] πολλὰ μὲν τὸν παῖδα ἀνακλαίων, καταριθμούμενος δὲ οἷα ὑπὸ Εὐαίφνου πεπονθὼς ἦν, ὃν αὐτὸς ξένον ἐποιήσατο καὶ πρὸ πάντων Λακεδαιμονίων ἐπίστευσεν. ὡς δέ οἱ συνεχῶς ἰόντι ἐπὶ τὰς ἀρχὰς οὐδεμία ἐγίγνετο τιμωρία, ἐνταῦθα παρετράπη τε ὁ Πολυχάρης ἐκ τοῦ νοῦ καὶ τῷ θυμῷ χρώμενος, ἅτε ἔχων[30] ἀφειδῶς ἤδη καὶ αὐτοῦ, πάντα τινὰ ὃν λάβοι Λακεδαιμονίων ἐτόλμα φονεύειν. Λακεδαιμόνιοι[31] μὲν δὴ Πολυχάρους τε εἵνεκα[32] οὐκ ἐκδοθέντος σφίσι καὶ

natura quum alia habere multa, tum nihil esse lucri cupiditate ad animos cogendos valentius. Indicavit Euaephnus, quanti boves venditae essent, ac se pretium repositurum, si Polycharis filius secum isset, repromisit. *Cum eo itaque a patre iuvenis missus est.* In Laconiam ubi ventum est, foedius multo addidit ille sceleri scelus. Adolescentem enim interficit. Eius rei immanitate *graviter* (*ut par fuit*) commotus Polychares, Lacedaemonem ventitans ad reges et Ephoros de filii caede assidue multisque cum lacrimis ad taedium usque querebatur: exponebat insuper, quas ab eo homine, quem sibi hospitem adsciverat cuique prae cunctis Lacedaemoniis fidem habuerat, iniurias accepisset. Verum quum eadem apud omnes magistratus iterando nihil omnino ad rei poenam profecisset, iam mentis parum compos furorique suo nimio plus indulgens, spreta sua salute, in quemcunque incidisset Lacedaemoniorum, eum tanquam hostem morte multabat. Eius belli itaque causas Lacedaemonii prae se ferunt, tum quod Polychares sibi deditus non esset, tum quod Teleclum Mes-

26. ἔχειν B ex em. Buttmanni. ἔχει Edd. rell. Codd.

27. ἀπέφαινεν Vb. Mox τοῦ πολυχ. PdLb. οἱ κινούμενον La.

28. ἐγένοντο coni. S. mox τὸν πολυχ. τον La.

29. ἐφόροις διόλου MVa (sec. exc. nostra διόχλου M).

30. ἔχειν La. Sq. καὶ om. Pd. tum αὐτοῦ AM.

31. a Λακεδαιμόνιοι novum caput incipit B. — Sq. μὲν om. M.

32. ἕνεκα BPcdAgLb; εἵνεκα Edd. rell. MVabLa; mox ἐκθέντος σφίσιν AgVbM.

*διὰ τὸν Τηλέκλου φόνον καὶ πρότερον ἔτι ὑπόπτως[33] ἔχοντες διὰ τὸ Κρεσφόντου κακούργημα ἐς[34] τὸν κλῆρον πολεμῆσαι λέγουσιν.*

## CAPUT V.

De iis, quae Messenii contradicentes narrant et quibus Lacedaemoniorum avaritiam coarguunt — Messenii de Polychare tradendo deliberantes in partes et pugnam discedunt, in qua Androcles interficitur — Euphaë Messeniorum regnum obtinente Lacedaemonii, bello haud indicto, clam Ampheam, Messeniorum urbem, oppugnant et capiunt — de Atheniensium illius temporis magistratibus.

*Μεσσήνιοι δὲ περὶ[1] Τηλέκλου ἀντιλέγουσι τὰ εἰρημένα ἤδη μοι καὶ Αἴπυτον τὸν Κρεσφόντου συγκαταχθέντα ἀποφαίνουσιν ὑπὸ Ἀριστοδήμου τῶν παίδων, ὃ μήποτ' ἂν ποιῆσαι σφᾶς Κρεσφόντῃ[2] γε ὄντας διαφόρους. Πο-* 2
*λυχάρην[3] δὲ ἐκδοῦναι μὲν ἐπὶ τιμωρίᾳ Λακεδαιμονίοις[4] οὔ φασιν, ὅτι μηδὲ ἐκεῖνοι σφίσιν Εὔαιφνον, ἐθέλειν μέν τοι παρὰ Ἀργείοις συγγενέσιν οὖσιν ἀμφοτέρων ἐν Ἀμφικτυονίᾳ διδόναι δίκας, ἐπιτρέπειν δὲ καὶ τῷ Ἀθήνῃσι[5] δικαστη-*

senii oppressissent: postremo quod simultates cum Messeniis haberent, *susceptas* ob commissam a Cresphonte in sortitione fraudem.

Cap. V. Contra de Teleclo dicunt Messenii, quae a me iam sunt exposita. Aepytum etiam ostendunt Cresphontis filium ab Aristodemi filiis restitutum. Non fuisse id facturos, si quid illis cum Cresphonte fuisset dissidii. Deditum a se non fuisse Polycharem, quod neque ipsi dedidissent Euaephnum. Voluisse tamen se, vel apud Argivos, qui utriusque civitatis essent consanguinei, vel in Amphictyonum consilio causam cognosci. Voluisse rem eandem Areopagitarum sententiis committere, quod

33. ὑπούλως ἔχ. coni. Sylb.
34. εἰς M. tum λέγουσιν AgPdVb. λέγουσι Edd. PcMVaLab.
Cap. V. 1. περί τε Τηλ. vult B. tum ἀντιλέγουσιν εἴδη μοι Vb.
2. κρεσφόντην AgPdMLab; κρεσφόντης M corr.; κραισφόντη ut supra κραισφόντου Vb.
3. Πολυχάρην CBPcdAgVabLb; Πολυχάρη AXKFSM(?); πολυχάριν La.
4. Λακεδαιμόνιοι AMPdVaLab. Sq. οὐ om. La. ἔναιφνον· ἐθέλει La. συγκενέσιν Ag. ἐν ἀμφικτυονιάδι δόναι La.
5. Ἀθήνησιν AgPd. tum διδασκαλείῳ AgMPcdRLb; ad marg. R δικαστηρίῳ. Mox φοινικὰς Vb.

*ρίῳ, καλουμένῳ δὲ Ἀρείῳ πάγῳ, ὅτι δίκας τας φονικὰς τὸ*
3 *δικαστήριον τοῦτο ἐδόκει δικάζειν ἐκ παλαιοῦ. Λακεδαι-*
*μονίους*[6] *δὲ οὐ διὰ ταῦτα πολεμῆσαί φασιν, ὑπὸ πλεονε-*
*ξίας δὲ τῇ σφετέρᾳ τε ἐπιβουλεῦσαι καὶ ἄλλα ἐργάσασθαι,*
*προφέροντες*[7] *μέν σφισι τὰ Ἀρκάδων, προφέροντες δὲ καὶ*
*τὰ Ἀργείων, ὡς οὔποτε ἐσχήκασι κόρον ἀποτεμνόμενοι*[8] *τῆς*
*χώρας αἰεί τι ἑκατέρων· Κροίσῳ τε αὐτοῖς δῶρα ἀποστεί-*
*λαντι γενέσθαι φίλους βαρβάρῳ*[9] *πρώτους, ἀφ᾽ οὗ τούς*
*τε ἄλλους τοὺς ἐν τῇ Ἀσίᾳ κατεδουλώσατο Ἕλληνας καὶ*
4 *ὅσοι Δωριεῖς ἐν τῇ Καρικῇ κατοικοῦσιν ἠπείρῳ. ἀποφαί-*
*νουσι*[10] *δὲ καὶ ἡνίκα οἱ Φωκέων δυνάσται τὸ ἱερὸν τὸ ἐν*
*Δελφοῖς κατειλήφασιν, ἰδίᾳ τε κατὰ ἄνδρα τοὺς βασιλεύ-*
*οντας ἐν Σπάρτῃ καὶ τῶν ἄλλων τοὺς ἐπ᾽ ἀξιώματος καὶ*
291 *κοινῇ τῶν τε ἐφόρων τὴν ἀρχὴν καὶ τὴν γερουσίαν μετα-*
*σχόντας τῶν τοῦ θεοῦ. πρὸ δὲ δὴ πάντων, ὡς οὐδὲν ἂν*[11]
*τοὺς Λακεδαιμονίους κέρδους ἕνεκα*[12] *ὀκνήσαντας, τὴν*

iudicium illud de caede apud Athenienses iam pridem fuerat constitutum. Verum non eam bellandi causam Lacedaemoniis dicunt fuisse, sed quum alios Graeciae populos, tum se quoque illos immodica dominandi cupiditate inflammatos, *per calumnias* opprimere voluisse. In exemplum Arcadas et Argivos adducunt, quorum fines carpendi finem nullum Spartani fecerint. Commemorant praeterea Croesi donis delinitos, primos e Graecis cum barbaris amicitiam iniisse: quo sane tempore Croesus et alios Asiae populos Graecanicos et Cariae continentem terram, quam tunc Dorienses incolebant, imperio suo adiecerit. Addunt, Delphici Apollinis templo a Phocensium ducibus direpto eius sacrilegii non privatim solum Spartae reges et optimates, verum et ipsum publice Ephororum magistratum ac senatum participem fuisse. Illud certe non praetermittunt, quo facile arguant, Lacedaemonios nihil lucri causa non semper ausos: quod societate

6. *Λακεδαιμόνιοι* AMVabPcdAgLab; tum *δι᾽ αὐτὰ* AXKFVb. *διὰ ταῦτα* CSBMPcdAgLabVa. mox *φασὶ πλεονεξ.* Vb.

7. *προφέροντες — ἀρκάδων* bis habet Lb. *σφισιν* AgVb. Mox *καὶ οὔποτε* Vb.

8. *ἀπετεμνόμενοι* La. *ἀποτεμόμενοι* coni. Sylb.

9. *βαρβάρῳ* edidimus e coni. B. *βαρβάρων* Edd. Codd. *πρώτῳ* coni. C. Mox *γε* om. Pd.

10. *ἀποφαίνουσιν* Pd. Mox *ἐν τοῖς δελφοῖς* La. *ἰδίᾳ δὲ* MAgPdLb; tum *καὶ* pro *κατὰ* Ag.

11. *οὐδὲν ἂν* B ex coni. Porsoni. *οὐδένων* Edd. rell. PcdAgRMLabVab, quod S interpretatur subaudito *συμμαχίαν*, idque inserendum censet F; *σφισι τὴν πρὸς* coni. K.

12. *ἕνεκα* BPcdAgLab; *εἵνεκα* Edd. rell. MRVab. tum *ὀκνήσαντες* RVbLa; *οὐκ ὀκνήσαντας* Pd. *ὀκνήσας* M.

συμμαχίαν ὀνειδίζουσί σφισι[13] πρὸς Ἀπολλόδωρον τὸν ἐν Κασσανδρείᾳ τυραννήσαντα. ἀνθ' ὅτου[14] δὲ Μεσσήνιοι 5
τὸ ὄνειδος ἥγηνται τοῦτο οὕτω[15] πικρὸν, οὔ μοι τῷ λόγῳ τῷ παρόντι ἦν ἐπεισάγεσθαι. ὅτι γὰρ μὴ τῶν Μεσσηνίων τὸ εὔψυχον καὶ χρόνου μῆκος ὃν[16] ἐπολέμησαν διάφορα ἐγένετο τῆς Ἀπολλοδώρου τυραννίδος, ἔς γε[17] τὰς συμφορὰς οὐ πολλῷ τινὶ ἀποδεῖ ἃ οἱ Κασσανδρεῖς πεπόνθασι. ταῦτα μὲν δὴ[18] αἴτια ἑκάτεροι τοῦ πολέμου γενέσθαι λέγουσι.

(2) Τότε δὲ πρεσβεία Λακεδαιμονίων ἥκουσα ἐξῄτει[19] 6
Πολυχάρη. οἱ δὲ τῶν Μεσσηνίων βασιλεῖς τοῖς μὲν πρέσβεσιν[20] ἀπεκρίναντο ὅτι βουλευσάμενοι μετὰ τοῦ δήμου τὰ δόξαντα ἐπιστελοῦσιν[21] ἐς Σπάρτην, αὐτοὶ δὲ ἐκείνων

se cum Apollodoro Cassandriae tyranno coniunxerint. Sed cur postremum hoc factum tam acriter incessant Messenii, non est mihi propositum hoc loco disquirere. In Apollodori quidem tyrannide tollenda, etsi neque tamdiu neque tanto animi ardore bellatum est, Cassandrensium tamen calamitates facile Messeniorum infortunia adaequarunt. Et ad huiusmodi sane causas uterque populus belli initia refert. (2) *Quum utrinque, uti superius a nobis est expositum, factae essent iniuriae,* venere tunc ad Messenios Lacedaemoniorum legati, qui dedi sibi Polycharem postularunt: at Messeniorum reges relaturos ea de re se ad populum responderunt, ac deinde per publicas literas, quod populus iussisset, Spartanos rescituros. Quare quum profecti iam essent

13. σφισιν AgPdVb; abest a La; tum ἀπολλώδωρον R. ἀπολλώνιον Vb. τοὺς ἐν La. Κασσανδρείᾳ SB, M in quo ι supra lin. Κασσανδρίᾳ Edd. rell. RPcAgVbLab. ἐν κασσανδρίαν Va.

14. ἀνθότου M. μεσήνιοι La. ἥγνηται M, ἥγνησαν (sic) Va.

15. οὔπω Lb et π expuncto τ supra lin. R. οὔπω M. Deinceps τῷ post λόγῳ om. La. τῶν Μεσσ. CSB MPdAgVaLb; τὸ Μεσσ. AXKFPcR LaVb qui μεσην. tum εὔψυχον CSB PcdAgLb, ut correxit Camer. ἔμψυχον AXKFRVabMLa.

16. ὃ ἐπολ.M. mox διάφορα CSB ex em. Sylb. et sic habere videtur Va; probat Palmer. MS. διαφορὰ RVbLa; διαφθορὰ AXKFPcdAg Lb; ἀδιάφορα Camerar.

17. ἔς γε CSB. ἔς τε AXKFPcd RAgVabMLab. Mox τὰς συμφορᾶς La. ἀποδεῖ CSB; ἀποδέοι AXKF PcdRAgVabMLab. Tum πεπόνθασιν RAgPd.

18. μὲν δὴ BPcdAg; μὲν οὖν δη Edd. rell. VabLabRM. mox αἰτία Va; ἑκατέρου AgMVa. ἑκάτερου, ι super υ, R.

19. ἐξῄτει CSBPcdAgVab(?), ut Pors. et Schaef. Melet. p. 75. emendarunt. ἐξήτει AXKFLb, silet M. ἐξήτη La. tum Πολυχάρην CBPcd AgVabLab; Πολυχάρη Edd. rell. M. Tum τῷ μεσσ. Lb. μεσηνίων Vb.

οἷς σιν
20. τῶν μὲν πρεσβεων R. πρέσβευσιν VbLa. ἀπεκρίνατο La.

21. ἐπιστέλλουσιν AgRPdLbVb;

ἀπελθόντων ἐς ἐκκλησίαν τοὺς πολίτας συνῆγον. αἱ δὲ γνῶμαι διάφοροι παρὰ πολὺ ἐγίνοντο,[22] Ἀνδροκλέους μὲν ἐκδιδόναι Πολυχάρην ὡς ἀνόσιά τε καὶ πέρα δεινῶν[23] εἰργασμένον· Ἀντίοχος[24] δὲ ἄλλα τε ἀντέλεγε καὶ τὸ ἁπάντων οἴκτιστον, εἰ Πολυχάρης ἐν ὀφθαλμοῖς πείσεται τοῖς Εὐαίφνου καταριθμούμενος ὅσα καὶ οἷα ἦν ἀνάγκη παθεῖν.
7 τέλος δὲ ἐς τοσοῦτο[25] προήχθησαν οἵ τε Ἀνδροκλεῖ καὶ οἱ τῷ Ἀντιόχῳ συσπεύδοντες ὥστε καὶ τὰ ὅπλα ἔλαβον. οὐ μὴν ἐς μακράν γε προῆλθέ[26] σφισιν ἡ μάχη· περιόντες γὰρ ἀριθμῷ καὶ πολὺ οἱ σὺν Ἀντιόχῳ τόν τε Ἀνδροκλέα καὶ τῶν περὶ αὐτὸν τοὺς λόγου μάλιστα ἀξίους ἀποκτείνουσιν. Ἀντίοχος δὲ βασιλεύων ἤδη μόνος ἔπεμπεν ἐς[27] Σπάρτην ὡς ἐπιτρέπειν ἐθέλοι τοῖς δικαστηρίοις ἃ ἤδη λέλεκταί μοι.
292 Λακεδαιμόνιοι δὲ οὐ λέγονται τοῖς κομίσασι[28] τὰ γράμ-
8 ματα ἀποκρίνασθαι. (3) Μησὶ δὲ οὐ πολλοῖς ὕστερον Ἀντιόχου[29] τελευτήσαντος Εὐφάης ὁ Ἀντιόχου παρέλαβε

legati, concione vocata, sententiae dictae sunt valde diversae. Androcles enim Polycharem auctorem impii et nefarii facinoris dedendum omnino censebat; Antiochus vero quum alia contra dixit, tum *illud in primis*, miserrimum fore Polycharem ante oculos Euaephni poenas pendere. Enumerabat, quam multa et quam gravia essent futura, quae perpeti illum necesse foret. Postremo eo contentio evasit, ut a sua alterutrius factione arma caperentur. Verum *facile ac* brevi finem habuit ea dimicatio. Nam qui cum Antiocho erant, multo superiores numero quum essent, et Androclem ipsum et earum partium optimum quemque interemerunt. Antiochus quum solus regnum occupasset, per literas Spartanis denunciat, se iis iudicum consiliis, quae ante nominavimus, totam controversiam commissurum. At illi nihil omnino tabellariis respondisse dicuntur. Paucis post mensibus quum in demortui Antiochi locum regnare coepisset

ἀποστέλλουσιν Va. ἐπιστέλουσιν La. ἐσπάρτην (sic) Va. Mox ἐπ' ἐκκλ. Pc. ἐκλησίαν AgVb.

22. ἐγένοντο edd., praeter B, VabMRLa; ἐγίνοντο BPcdAgLb.

23. πέρα δικῶν coni. Hartung. πέρα δικαίων coni. S. ὑπέρδεινα coni. B, cum πέρα δεινὰ sit in Pc AgRLb; in R ῶν super ά; περὰ δεινὰ Va. εἰργασάμενον MVa.

24. Ἀντίγονος marg. VaRVbLa; ad marg. R ἄλλ. ἀντίοχος. tum ἀντέλεγεν Ag.

25. τοσοῦτον SVabMLa. Tum συνσπεύδοντες PdVbMLa.

26. τε προῆλθεν Ag. mox περὶ αὐτῶν τοὺς λόγους La.

27. εἰς M. ἐθέλει La.

28. κομίζουσι Vb. tum ὑποκρίνασθαι Ag. ἀποκρίνεσθαι, α super ε, Vb.

29. ἀντίοχον M (ἀντιόχον sec. exc. nostra). Sq. τελευτήσαντος M PcAgLb om., R addit ad marg. Mox Εὐφάης SBPcdAg; Εὐφαὴς AXK FCLab.

τὴν ἀρχήν. Λακεδαιμόνιοι δὲ οὔτε κήρυκα ἀποστέλλουσι[30] προεροῦντα Μεσσηνίοις πόλεμον, οὔτε προαπειπάμενοι τὴν φιλίαν, κρύφα δὲ καὶ μάλιστα ὡς ἐδύναντο ἐν ἀποῤῥήτῳ παρασκευασάμενοι προομνύουσιν ὅρκον μήτε τοῦ πολέμου μῆκος, ἢν μὴ δι' ὀλίγου[31] κριθῇ, μήτε τὰς συμφορὰς, εἰ μεγάλαι πολεμοῦσι[32] γένοιντο, ἀποστρέψειν σφᾶς πρὶν ἢ κτήσαιντο χώραν τὴν Μεσσηνίαν δοριάλωτον.[33] ταῦτα 9
προομόσαντες ἔξοδον νύκτωρ ἐποιοῦντο[34] ἐπὶ Ἄμφειαν, Ἀλκαμένην τὸν Τηλέκλου τῆς στρατιᾶς ἡγεμόνα ἀποδείξαντες. ἡ δὲ Ἄμφεια πρὸς τῇ Λακωνικῇ πόλισμα ἦν ἐν τῇ Μεσσηνίᾳ, μεγέθει μὲν οὐ μέγα, ἐπὶ λόφου δὲ ὑψηλοῦ κείμενον, καὶ ὑδάτων πηγὰς εἶχεν[35] ἀφθόνους· ἐδόκει δὲ καὶ ἄλλως ἐς τὸν πάντα πόλεμον ὁρμητήριόν σφισιν ἐπιτήδειον ἡ Ἄμφεια[36] εἶναι. καὶ τό τε πόλισμα αἱροῦσι πυλῶν

eius filius Euphaes, Lacedaemonii neque per fetialem bellum Messeniis indixerunt, neque omnino aperte eorum amicitiae renunciarunt, verum (quam maxime potuerunt) clandestinis consiliis bello apparato iusiurandum conceperunt, non esse arma se posituros, neque bellandi diuturnitate (si bellum in longinquum tempus duceretur) neque ullius cladis magnitudine, priusquam agros et urbes Messeniorum vi captas imperio adiecissent suo. Haec ante iurati noctu copias Amphean versus eduxerunt; provincia Alcameni, Telecli filio, decreta. Fuit Amphea in Messenia Laconiae finitimum oppidum, non magnum illud quidem, sed in praecelso colle situm, circumfluens aquarum perennium copia. Opportunus maxime visus est locus, unde omnis se belli apparatus effunderet. Oppidum itaque capiunt patentibus portis

30. ἀποστέλλουσιν Pd. ἀποστέλλουσαι Vb. ἀποστέλουσι La. προαιροῦντα PdVb (in Vb ε super αι); προερο͂υντα (αι ες super.) M. προαιροῦντες Va. προαιροῦνται La. προεροῦν Lb. ἀπειπάμενοι Vb. προμνύουσιν La.

31. δι' ὀλίγον Va. Deinceps τὰ συμφορᾶς M; μὴ μετὰ συμφορᾶς sec. exc. nostra, et sic est in VaLab (συμφορὰς Lab); μὴτ (τ expunct.) μετὰ συμφορᾶς Vb.

32. πολεμοῦσιν γέν. ἀποστρέφειν Ag. γένοιτο, ἀποτρέψειν La. λογισάμενοι ἀποστρέψειν AXKF. λογισάμενοι [μὴ] ἀποστρέψειν C. ἐπιστρέψειν, reverti, vel ἀποτρέψειν, desistere, coni. Coraes; sed SBPcd MAgVabLab. λογισάμενοι om. κτήσαιτο La.

33. δοριάλωτον scripsimus e praecepto Lobeckii ad Aj. p. 160. ed. 2dae. δωριάλωτον Pd. δορυάλωτον Edd. AgPcVaLab. δωρυάλωτον, ο super ω primo, Vb. tum προωμώσαντες, ο super ω primo, id. προομώσαντες Lab.

34. ἐποιοῦντο. ἐπὶ οὖντο ἐπὶ ἄ. La. ἄμφιαν Vb; in Va φει ambig.; tum ἀλμένην, κα sup. lin., Vb.

35. εἶχεν om. PdAg; tum ἐς B PcdAg. εἰς edd. rell. Lab.

36. ἀμφεία La. Sq. καὶ om. Lb Va.

*ἀνεῳγμένων καὶ φυλακῆς οὐκ ἐνούσης, καὶ τῶν Μεσσηνίων*[37] *τοὺς ἐγκαταληφθέντας φονεύουσι, τοὺς μὲν ἔτι ἐν ταῖς εὐναῖς, τοὺς δὲ*[38] *ὡς ᾔσθοντο πρός τε ἱερὰ θεῶν καὶ βωμοὺς καθημένους ἱκέτας· ὀλίγοι δὲ καὶ οἱ διαφυγόντες ἐγένοντο.* (4) *Ταύτην Λακεδαιμόνιοι πρώτην ἐπὶ Μεσσηνίους*[39] *ἔξοδον ἐποιήσαντο, ἔτει δευτέρῳ τῆς ἐνάτης Ὀλυμπιάδος, ἣν Ξενόδοκος Μεσσήνιος ἐνίκα στάδιον. Ἀθήνησι δὲ οὐκ ἦσάν πω τότε*[40] *οἱ τῷ κλήρῳ κατ᾽ ἐνιαυτὸν ἄρχοντες· τοὺς γὰρ ἀπὸ Μελάνθου, καλουμένους*[41] *δὲ Μεδοντίδας, κατ᾽ ἀρχὰς μὲν ἀφείλοντο ὁ δῆμος τῆς ἐξουσίας τὸ πολὺ καὶ ἀντὶ βασιλείας μετέστησαν*[42] *ἐς ἀρχὴν ὑπεύθυνον, ὕστερον δὲ καὶ προθεσμίαν ἐτῶν δέκα ἐποίησαν αὐτοῖς τῆς ἀρχῆς. τότε δὲ ὑπὸ τὴν κατάληψιν τῆς Ἀμφείας Αἰσιμίδης*[43] *Ἀθηναίοις ἦρχεν ὁ Αἰσχύλου πέμπτον ἔτος.*

nec ullo obstante praesidio. Messenii, qui sunt intus deprehensi, omnes ad unum interfecti, in ipsis cubilibus alii, alii vero, quum animadversa calamitate ad templa et aras deorum supplices confugissent; pauci omnino periculum effugerunt. (4) Haec prima fuerunt in eo bello suscipiendo Lacedaemoniorum exordia altero anno nonae Olympiadis, qua Messenius Xenodocus de stadio victor renunciatus est, quum Athenis nondum sorte annui magistratus ducerentur, quod scilicet civitas ea Melanthi posteros, qui sunt Medontidae appellati, primum quidem in ordinem redactos, aequo iure et legibus magistratum gerere iussit: deinde cavit, ne ultra annos X imperium continuarent. Quo itaque tempore Amphea capta est, Aesimides Atheniensis, Aeschyli filius, quintum iam annum summae reipublicae praeerat.

37. *Μεσσ. τῶν* M. tum *ἐγκαταληφθέντας* AgPdVbLabCSBAm. *ἐγκαταλειφθέντας* AXKFPcVaM. Tum *φονευούσιν* PdAgVb.

38. *τοὺς δὲ — ἱκέτας* om. M. *ὡς* om. La. *ἱρὰ* Lb.

39. *μεσσηνίοις* PcAgLbVa. Deinceps *ἐνάτης* AXKFBAgPcd; *ἐννάτης* CSMVabLab. Mox *ξενοδ. ὁ μεσσήν.* Va. *Ξενοδόκος* Edd. Codd. Scripsimus *Ξενόδοκος*.

40. *τότε* om. M. Tum *μελάνθους* Va.

41. *καλουμένης* La. *καταρχὰς* SMVab.

42. *μετέστησαν* CBAg, in Pd fuit *αν*, quo deleto *ε* substitutum est: voluit iam Sylb. *μετέστησεν* AXKFSMVbPcLab. *κατέστησεν* Va. Tum *ἐπεύθυνον* Ag. mox *προσθεσμίαν* MVa; deinde *ἐποίησεν* SMVab.

43. *Αἰσιμίδης* S mai. B Am. *Αἰσιμήδης* Edd. rell. Codd. tum *Ἀθηναίοις* SB, *Ἀθηναῖος* Edd. rell. Codd.

# CAPUT VI.

De belli Messenici denominatione eiusque scriptoribus — de Aristomene eiusque aetate — Messenii, Amphea capta, ad Stenyclerum concionem populi habent, et bellum parant.

*Πρὶν δὲ ἢ συγγράφειν με*[1] *τὸν πόλεμον καὶ ὁπόσα πο-* 293
*λεμοῦσιν ἑκατέροις ὁ δαίμων παθεῖν ἢ δρᾶσαι παρεσκεύασε,*[2] *διακρῖναί τε καὶ ἡλικίας ἔργα ὅπερ ἠθέλησα ἀνδρὸς Μεσσηνίου. τὸν γὰρ πόλεμον τοῦτον γενόμενον μὲν Λακεδαιμονίων καὶ τῶν συμμάχων πρὸς Μεσσηνίους καὶ τοὺς ἐπικούρους, ὀνομασθέντα δὲ οὐκ ἀπὸ τῶν ἐπιστρατευσάντων ὥσπερ γε ὁ Μηδικὸς καὶ ὁ Πελοποννήσιος,*[3] *Μεσσήνιον δὲ ἀπὸ τῶν συμφορῶν, καθὰ δὴ καὶ τὸν ἐπὶ Ἰλίῳ κληθῆναι Τρωϊκὸν καὶ οὐχ Ἑλληνικὸν ἐξενίκησε, τοῦτον γὰρ τῶν Μεσσηνίων τὸν πόλεμον Ῥιανός τε ἐν τοῖς ἔπεσιν ἐποίησεν ὁ Βηναῖος*[4] *καὶ ὁ Πριηνεὺς Μύρων· λόγοι δὲ*[5] *πεζοὶ*

Cap. VI. Sed antequam bellum conscribam et quae utrique bellantium parti divinitus patienda aut facienda obvenerunt, statui Messenii hominis res gestas et aetatem exquirere. Hoc certe bellum, quod a Lacedaemoniis eorumque sociis cum Messeniis et iis populis, qui auxilia Messeniis miserunt, gestum est, non ab iis, qui priores arma ceperunt, nomen duxit, uti Persicum et Peloponnesiacum; sed a Messeniorum clade Messenicum est appellatum: sicuti et illud, quod ad Ilium Graeci gesserunt, pervicit usus ut Troianum, non Graecum, appellaretur. Hoc ipsum Messenicum bellum perscripsere Rhianus Benaeus versibus, soluta oratione Prienensis Myron: sed eorum neuter a belli initio

Cap. VI. 1. *με* om. M. mox *δράσαι* id.
2. *παρεσκεύασε, ἔργα* CSmin., tum *διακρῖναί τε καὶ ἡλικίαν πρότερον ἠθέλησα* CS. *διακρίναι τε ἔργα καὶ ἡλικίας ἠθέλησα* Vb; *διακρῖναί τε ἔργα καὶ ἡλικίας πέρι ἠθέλησα* AXKFLa; *διακρῖναί τε καὶ ἡλικίας ἔργα ὅπερ ἠθέλησα* BPcdAgLb; *παρεσκεύασε. διακρίναι τε ἔργα καὶ ἡλικίας πέρι ὅπερ ἤθελεσα* (sic) *ἀνδρ.* Va; e M exc. nostra sic habent: *ἡλικίας ἔργα ὅπερ ἠθέλησαν*; ad praecedens *ἔργα* nihil adnotavit is qui fecit collationem; FC sic habent e M: „*ἔργα — ὅπερ ἠθέλησαν.*“ Lachmann. coni. *διακρῖναί τι καὶ ἡλικίας πέρι.*
3. *πελλοποννήσιος* Vb. Mox *ἐξενίκησεν* BAgPcdMVa; *ἐξενήκησε* Vb, mutato *ή* in *εί*, et omisso praeced. *οὐχ.* Tum *τοῦτον δὴ γὰρ* AXKFCS; *δὴ* om. BPcdAgMLb, etiam S in auctario id a se omitti debuisse fatetur; *τοῦτον γὰρ δὴ* Vb; *τούτων γὰρ τῶν μεσσ.* Va. *δὴ γὰρ* om. La.
4. *θηβαῖος* AgVa. *Λεβηναῖος* coni. Valck.
5. *δὲ* om. BPcdAg.

2 Μύρωνός ἐστιν ἡ συγγραφή. συνεχῶς μὲν δὴ τὰ πάντα
ἐξ ἀρχῆς ἐς τοῦ πολέμου τὴν τελευτὴν οὐδετέρῳ διήνυσται,
μέρος δὲ ᾧ[6] ἑκάτερος ἠρέσκετο, ὁ μὲν τῆς τε Ἀμφείας τὴν
ἅλωσιν καὶ τὰ ἐφεξῆς συνέθηκεν, οὐ πρόσω τῆς Ἀριστοδή-
μου τελευτῆς, Ῥιανὸς δὲ τοῦδε[7] μὲν τοῦ πρώτου τῶν
πολέμων οὐδὲ ἥψατο ἀρχήν, ὁπόσα δὲ χρόνῳ συνέβη τοῖς
Μεσσηνίοις ἀποστᾶσιν ἀπὸ Λακεδαιμονίων,[8] ὁ δὲ καὶ ταῦ-
τα μὲν οὐ τὰ πάντα ἔγραψε, τῆς μάχης δὲ τὰ ὕστερα, ἣν
3 ἐμαχέσαντο ἐπὶ τῇ Τάφρῳ τῇ καλουμένῃ μεγάλῃ. (2) Ἄν-
δρα[9] οὖν Μεσσήνιον (τούτου γὰρ δὴ ἕνεκα τὸν πάντα ἐποιη-
σάμην Ῥιανοῦ καὶ Μύρωνος λόγον) Ἀριστομένην, ὃς καὶ
πρῶτος καὶ μάλιστα τὸ Μεσσήνης ὄνομα ἐς ἀξίωμα προή-
γαγε,[10] τοῦτον τὸν ἄνδρα ἐπεισήγαγε μὲν ὁ Πριηνεὺς ἐς
τὴν συγγραφήν, Ῥιανῷ δὲ ἐν τοῖς ἔπεσιν οὐδὲν Ἀριστομέ-
294 νης ἐστὶν ἀφανέστερος ἢ Ἀχιλλεὺς ἐν Ἰλιάδι Ὁμήρῳ. διά-

ad finem perpetua serie est omnia persecutus. Nam arbitratu uterque suo partem eius belli, sibi quam voluit, assumsit. Myron ab Amplieae eversione exorsus, omnia deinceps conscripsit, quae usque ad Aristodemi mortem consecuta sunt: atque eum historiae suae finem praescripsit. At Rhianus primum bellum prorsus non attigit, verum ea duntaxat, quae Messeniis post defectionem a Lacedaemoniis evenerunt. Sed neque haec omnia singillatim literis mandavit: verum quae post pugnam gesta sunt, quae ad fossam, cui Magnae nomen, commissa est, (2) et Messenium Aristomenem, cuius maxime causa hanc feci de Rhiano et Myrone mentionem, quod is scilicet primus et omnium maxime Messeniorum nomen virtute sua illustrarit: eum, inquam, virum Myron Prienensis historiae suae inseruit: ac Rhiano in suo poëmate Aristomenes nihilo est obscurior, quam Homero

6. ᾧ B; ὡς Edd. rell. Codd. — Mox ἀφείας La. ἐξῆς VaM; ἐφ' ἑξῆς AXKF; ἐφεξῆς CSB.

7. τοῦ μὲν τοῦ M. δὲ τοῦ μὲν πρώτ. VaLa.

8. λακεδαιμονίοις, p. corr. ων, Va; deinde οὐδὲ, ad marg. ὁ δὲ R. ὅδε malit S. tum ἔγραψεν AgM.

9. Ἄνδρα οὖν Μεσσήνιον (τούτου — λόγον) Ἀριστ. CS. Ἄνδρα τε Ἀριστομένην Μεσσ. (τούτου — λόγον), ὃς F. μεγάλῃ, ἄνδρα τε Ἀριστ. Μεσσήνιον. τούτου — λόγον, ὃς καὶ πρῶτος καὶ AXKVbLa (τε om. VbLa). μεγάλῃ, ἄνδρα ὅσον οὐ Μεσσήνιον (τούτου — λόγον) Ἀριστομένην BPcdAgMVaLb; tum ὃ πρῶτος Smin. ἄνδρα ὅσον οὐδένα Μεσσήνιον coni. C. Ante πρῶτος omittunt καὶ CSBPcdAg.

10. προήγαγεν MVbAg. mox ἐπισήγαγε La. ἐπεισήγαγεν Ag. οὐκ ἐπεισήγαγε vult Coraes, inductus ab Amasaeo, qui vertit: *de eo non satis accurate egit.* Mox ἀφενέστερος M. ἰλιάδι δι' ὁμήρῳ La.

φορα οὖν ἐπὶ τοσοῦτον εἰρηκότων προσέσθαι[11] μὲν τὸν ἕτερόν μοι τῶν λόγων καὶ οὐχ ἅμα ἀμφοτέρους ὑπελείπετο. Ῥιανὸς δέ μοι ποιῆσαι[12] μᾶλλον ἐφαίνετο εἰκότα ἐς τὴν Ἀριστομένους ἡλικίαν. Μύρωνα[13] δὲ ἐπί τε ἄλλοις καταμαθεῖν ἔστιν οὐ προορώμενον εἰ ψευδῆ τε καὶ οὐ πιθανὰ 4
δόξει λέγειν, καὶ[14] οὐχ ἥκιστα ἐν τῇδε τῇ Μεσσηνίᾳ συγγραφῇ. πεποίηκε γὰρ ὡς ἀποκτείνειε[15] Θεόπομπον τῶν Λακεδαιμονίων τὸν βασιλέα Ἀριστομένης ὀλίγον πρὸ τῆς Ἀριστοδήμου τελευτῆς· Θεόπομπον δὲ οὔτε μάχης γιγνομένης οὔτε ἄλλως προαποθανόντα ἴσμεν πρὶν ἢ διαπολεμηθῆναι τὸν πόλεμον. οὗτος δὲ[16] ὁ Θεόπομπος ἦν καὶ ὁ πέρας ἐπιθεὶς τῷ πολέμῳ· μαρτυρεῖ δέ μοι καὶ τὰ ἐλεγεῖα τῶν[17] 5
Τυρταίου λέγοντα·

Ἡμετέρῳ βασιλῆϊ θεοῖσι φίλῳ Θεοπόμπῳ,
Ὃν διὰ Μεσσήνην εἵλομεν εὐρύχορον.

Achilles in Iliade. Quum itaque inter illos non satis conveniat, reliquum mihi illud est, ut eorum alterius, non utriusque, auctoritatem reiiciam. Rhianus quidem maiorem veritatis de Aristomenis *praesertim* aetate rationem habuisse videtur. Myron vero, quod facile ex aliis eius scriptis cognoscas, atque ex hoc in primis Messenico eius opere, parum omnino, quam probabilia diceret, attendit. Scriptum enim reliquit, Lacedaemoniorum regem Theopompum ab Aristomene interfectum, paulo antequam e vita decederet Aristodemus: quum Theopompum neque in proelio neque alio quovis mortis genere occidisse compertum habeamus, nisi confecto demum bello, quando hic ille Theopompus fuit, qui bello finem imposuit. Eius rei testimonio sunt Tyrtaei elegi:

Regi *olim* nostro divûm curae Theopompo,
Per quem Messene lata choris capitur.

11. προέσθαι Edd. Codd. „aptius fortasse προσέσθαι“ B. quod recepimus.

12. ποιεῖται Vb. Mox εἰς AXKFC; ἐς SBMPcdAgLab.

13. μύρονα Vb. tum ἄλλος Va.

14. καὶ om. AgMVa. Tum τῇ Μεσσηνίᾳ SB ex em. Sylb. τῆς Μεσσηνίας Edd. rell. PcdAgVbM Lab; τῇ τῆς μεσσηνίας Va; post τῇ inseritur δὲ a sec., ut videtur, manu.

15. ἀποκτείνειαι Ag. mox τὸν Λακ. βασιλέα AXKFCSLa; τῶν Λακ. βασιλέα VabM. τῶν Λακ. τὸν βασιλέα BPcdAgLb. tum ὀλίγον — γιγνομένης om. VaM. μάχης γιγνομένης La.

16. οὗτος δὲ om. Ag. πέρσας La.

17. τοῦ vel τὰ mavult Coraes. Mox ἕλομεν MVa, tum εὐρύχωρον AgPdVabLa.

*ὁ τοίνυν Ἀριστομένης δόξῃ γε ἐμῇ γέγονεν ἐπὶ τοῦ πολέμου τοῦ ὑστέρου, καὶ τὰ ἐς αὐτὸν, ἐπειδὰν ἐς τοῦτον*[18] *ὁ λόγος ἀφίκηται, τηνικαῦτα ἐπέξειμι.*

6 (3) *Οἱ δὲ Μεσσήνιοι τότε ὡς τὰ*[19] *περὶ τὴν Ἄμφειαν ἤκουον παρ᾽ αὐτῶν τῶν ἀποσωθέντων ἐκ τῆς ἁλώσεως, συνελέγοντο ἐς Στενύκληρον ἀπὸ τῶν πόλεων. ἀθροισθέντος δὲ ἐς ἐκκλησίαν τοῦ δήμου καὶ ἄλλοι τῶν ἐν τέλει καὶ τελευταῖος ὁ βασιλεὺς παρεκελεύετο*[20] *μήτε τῆς Ἀμφείας καταπεπλῆχθαι*[21] *τὴν πόρθησιν ὡς τὸν πάντα ἤδη κεκριμένον δι᾽ αὐτῆς πόλεμον, μήτε ὡς τῆς σφετέρας κρείσσονα τῶν Λακεδαιμονίων δεδοικέναι τὴν παρασκευήν· μελέτην μὲν γὰρ ἐκείνοις*[22] *τῶν πολεμικῶν ἐκ χρόνου πλείονος, σφίσι δὲ εἶναι τήν τε ἀνάγκην ἰσχυροτέραν ἀνδράσιν ἀγαθοῖς γίνεσθαι,*[23] *καὶ τὸ εὐμενέστερον ἔσεσθαι παρὰ τῶν θεῶν ἀμύνουσι τῇ οἰκείᾳ καὶ οὐκ ἀδικίας ἄρχουσιν.*

Viguit itaque mea quidem opinione Aristomenes posteriore bello: cuius res gestas, quum ad eam belli partem nostra oratio pervenerit, accuratius persequar. (3) Messenii ubi primum captam Amphean cognoverunt ex eorum sermone, qui *illius noctis* cladem effugerant, ex omnibus civitatibus in unum ad Stenyclerum convenerunt. Ubi vocato ad concionem populo optimi quique priori loco ac postremo rex ipse exterritos hominum animos ob Ampheae oppressionem confirmarunt, quum dicerent, non esse protinus de universi belli exitu ex isto adverso casu iudicium faciendum, neque omnino esse ad id bellum gerendum quam se apparatiores Lacedaemonios. Illos quidem ad res bellicas longioris temporis afferre exercitationem; sibi vero necessitatem impositam ad excitandos ad virtutem animos acriorem. Causam praeterea suam fore Dîs ipsis favorabiliorem, quum et fines suos defenderent et hostes ipsi nulla iniuria lacessissent.

18. *τοῦτον* Ag (*ν* expuncto), quod voluit B. *τοῦτο* Edd. PcdMVb. *ἐπειδὰν ὁ λόγος ἐς τοῦτο ἀφ.* Va.

19. *τὰ* om. PdMLb. — C ab hac §. caput VII. inchoat, ut voluit F. Mox *ἄφειαν* La. *ἤκουσιν* Ag et *συλέγοντο* M.

20. *παρεκελεύοντο* Pd. mox *ἀμφίας* id.

21. *καταπεπλῆχθαι* CSBMPcdLb AgVa. *ἐκπεπλῆχθαι* AXKF; copulat utramque lectionem *κατὰ ἐκπεπλῆχθαι* Vb. *πεπλῆχθαι* La. *κεκριμμένον* AgVa. *κεκρυμμένον*, *ι* super *υ* et altero *μ* expuncto Pd. *κεκρυμένον* La.

22. *ἐκείνης*, *οι* sup. lin. Vb. Mox *σφίσιν* Ag; tum *τήν τε τε ἀν.* expuncto altero *τε* Vb; *ἄνδρεσιν* id.

23. *γίνεσθαι* La. *γίγνεσθαι* rell. Mox *ἔσεσθαι* CSB e coni. F; *ἐς* Pc; *ἔσται* AXKFPdAgVabMLab. Deinceps *τῇ οἰκία* VaLb et *ἀδικίαν* Vb. *ἄρχουσιν* BPcAgVb; *ἄρχουσι* Edd. rell. PdLab.

# CAPUT VII.

Lacedaemonii in Messeniam incursiones faciunt, et praedam agunt — Euphaës, rex Messenior., exercitum una cum servis contra hostes educit, et proelium conseritur — anno proximo Lacedaemonii denuo exercitum contra Messenios ducunt, et hi adversa acie in hostes contendunt — utriusque exercitus duces oratione suos exhortantur.

Τοιαῦτα ὁ Εὐφάης[1] εἰπὼν διέλυε τὸν σύλλογον, τὸ 295
δὲ ἀπὸ τούτου πάντας ἔσχεν ἤδη τοὺς Μεσσηνίους ἐν
ὅπλοις,[2] τούς τε οὐκ εἰδότας ἐπαναγκάζων διδάσκεσθαι
τὰ πολεμικά, καὶ τοῖς ἐπισταμένοις ἐπιμελεστέραν ἢ πρότε-
ρον τὴν ἄσκησιν εἶναι. Λακεδαιμόνιοι δὲ καταδρομὰς
ἐποιοῦντο ἐς τὴν Μεσσηνίαν καὶ τὴν μὲν χώραν οὐκ ἐλυ-
μαίνοντο ἅτε δὴ νομίζοντες οἰκείαν,[3] οὐδὲ δένδρα ἔκοπτον,
οὐδὲ οἰκήματα κατέβαλλον· οἱ δὲ λείαν, εἰ περιτύχοιεν,
ἤλαυνον καὶ σῖτον καὶ τὸν[4] ἄλλον καρπὸν ἀφῃροῦντο.
πρὸς δὲ τὰς πόλεις ποιούμενοι προσβολὰς εἷλον μὲν οὐδε- 2
μίαν ἅτε καὶ τείχεσιν[5] ὠχυρωμένας καὶ δι' ἀκριβείας φρου-
ρουμένας, λαμβάνοντες δὲ τραύματα ἀπεχώρουν ἄπρακτοι,
καὶ τελευτῶντες οὐκέτι ἀπεπειρῶντο[6] τῶν πόλεων. ἐλῄ-

Cap. VII. Haec et alia huiusmodi quum dixisset Euphaes, concionem dimisit: et exinde Messenios omnes in armis habuit. Nam et tirones ad belli munia erudiendos curabat, et veteranum militem assidua exercitatione confirmabat. Interea Lacedaemonii in hostilem quidem agrum incursiones faciebant: verum (quippe qui suum illum iam esse interpretarentur) neque arbores succidere neque villas demoliri; praedam tantum, si quam nacti essent, agere, frumenta fructusque alios asportare. Urbes praeterea aliquot oppugnare aggressi nullam omnino expugnarunt, quum et propugnaculis et firmioribus praesidiis munitae essent; quin per irritos conatus multis acceptis vulneribus retrocedere coacti postremo oppidorum oppugnationibus prorsus abstinuerunt.

Cap. VII. 1. εὐφαλὴς M; εὐφάλης Pd; Εὐφαὴς AXKFPdVb Lab constanter; Εὐφάης CSB. σύλογον La.

2. ἐνόπλοις A; ἐνόπλους Sylb. Pro ἐπαναγκάζων magis placet ἔτι ἀναγκάζων.

3. εἰκεῖαν Ag. tum κατέβαλον AXKFAgPd; κατέβαλλον CSB ex em. Sylb. PcLab. Nihil enotavimus e Vab, silet M. λεῖαν M.

4. τὸν om. MVaLb; tum ἀφηλοῦντο Va.

5. κα τείχ. Ag. ὠχυρωσάμενας Va. ὀχυρωμένας La. Sq. καὶ om. id.

6. ἀποπειρῶντο MVabLa. ἐλήστευον MA.

στενον δὲ καὶ οἱ Μεσσήνιοι τά τε ἐπιθαλάσσια τῆς Λακωνι-
3 κῆς καὶ ὅσαι[7] γεωργίαι περὶ τὸ Ταΰγετον ἦσαν. (2) Τε-
τάρτῳ δὲ ἔτει[8] μετὰ τῆς Ἀμφείας τὴν ἅλωσιν Εὐφάης τῷ
θυμῷ χρήσασθαι τῶν Μεσσηνίων προθυμούμενος ἀκμα-
ζόντων ἐς τοὺς Λακεδαιμονίους ταῖς ὀργαῖς, καὶ ἅμα τὴν
ἄσκησιν ἤδη σφίσιν αὐτάρκη νομίζων εἶναι προεῖπεν ἔξο-
δον, συνακολουθεῖν δὲ καὶ τοὺς οἰκέτας προσέτασσε φέρον-
τας ξύλα καὶ ἄλλα ὅσα πρόσφορα ἐς ποίησιν χαρακώματος.
ἐπυνθάνοντο δὲ καὶ οἱ Λακεδαιμόνιοι παρὰ τῶν ἐν Ἀμ-
4 φείᾳ[9] φρουρῶν τοὺς Μεσσηνίους ἐξιόντας. ἐξεστρατεύ-
οντο οὖν καὶ οὗτοι. καί, ἦν γὰρ ἐν τῇ Μεσσηνίᾳ χωρίον
ἄλλως μὲν ἐς ἀγῶνα ἐπιτήδειον, χαράδρα δὲ προεβέβλητο
αὐτοῦ βαθεῖα, ἐνταῦθα τοὺς Μεσσηνίους παρέτασσεν[10]
ὁ Εὐφάης ἀποδείξας στρατηγὸν Κλέονιν. τῆς δὲ[11] ἵππου
καὶ τῶν ψιλῶν, οἳ συναμφότεροι ἐλάσσους πεντακοσίων
5 ἦσαν, Πυθάρατος καὶ Ἄντανδρος ἡγοῦντο. ὡς δὲ συνῄει
τὰ στρατόπεδα, τοῖς μὲν ὁπλίταις καὶ ἀφειδῶς ὅμως καὶ

Populabantur rursus Messenii maritimos Laconiae fines et quae circa Taygetum erant arva omnia. (2) Quartus iam mensis exierat post captam Amphean, quum Euphaes Messeniorum alacritate confisus, quorum animos ira in Lacedaemonios ardere videbat, ac simul satis iam ratus per assiduas exercitationes ad rei militaris scientiam profectum, educturum se exercitum edixit, servisque ut se sequerentur imperavit cum materia et omni iaciendi valli instrumento. Id quum Lacedaemonii rescissent ex iis, qui ad Amphean in praesidio erant, et ipsi copias eduxerunt suas. Erat in Messeniorum finibus campus ad signa conferenda alioqui idoneus, nisi quod profundior eum alveus dividebat. Ad eum alveum suam instruxit aciem Euphaes. Imperatorem Cleonin declaravit. Equites et levem armaturam, pauciores utrinque quingenis, Pytharatus et Antander ducebant. Ubi in unum acies concurrere, gravem armaturam utrinque praecipiti animi ardore

7. ὅσα La. γεοργίαι Vb.

8. μηνὶ pro ἔτει legisse Am. suspicatur F. tum χρώσασθαι, η super ω, Vb. τῶν μεσσ. La. προϊθυμούμενος A. Mox τοὺς ante οἰκέτας om. Va. προσέταξεν VbLa.

9. ἐς ἀμφείαν La. ἀμφίᾳ Vb. Deinde ἐξιοῦντας id. ἐστρατεύοντο La.

10. παρέτεσεν M (παρέτασεν sec. exc. nostra). mox κλέονιν MVaLab; κλεόνην Vb. Κλέοννιν Edd. PcAg.

11. δὲ B ex em. Buttmanni. τε Edd. rell. Codd. Κλέοννιν τῆς τε ἵππου AXKF. ἦσαν, ὧν Πυθάρ. AXKFLabPcdAgVabM; ὧν Porson. mutandum censuit in ὁπλιτῶν δέ. CSB ὧν om. praeeunte Amasaeo. τῶν ὑψηλων ψιλῶν Vb, at ὑψηλων expunct.

ἀκρατέστερον ὑπὸ τοῦ μίσους φερομένοις[12] ἐπὶ ἀλλήλους
οὐ παρέσχεν ἐλθεῖν ἐς χεῖρας ἡ χαράδρα διείργουσα· τὸ δ᾽
ἱππικὸν καὶ οἱ ψιλοὶ συμμίσγουσι μὲν κατὰ τὸ ὑπὲρ τὴν
χαράδραν, ἦσαν δὲ οὔτε πλῆθος οὔτε ἐμπειρίᾳ διαφέρον- 296
τες οὐδέτεροι,[13] καὶ διὰ τοῦτο ἰσόῤῥοπος ἡ μάχη σφίσιν
ἐγένετο. Ἐν[14] ὅσῳ δὲ οὗτοι συνεστήκασιν, ἐν τοσούτῳ 6
τοὺς οἰκέτας ἐκέλευεν ὁ Εὐφάης πρῶτον[15] μὲν τὰ κατὰ
νῶτον τοῦ στρατοπέδου φράξασθαι τοῖς σταυροῖς, μετὰ
δὲ τὰ πλευρὰ ἀμφότερα. ἐπεὶ δὲ ἥ τε νὺξ ἐπέλαβε[16] καὶ
ἡ μάχη διελέλυτο, τότε ἤδη καὶ τὰ πρὸ τοῦ στρατοπέδου
κατὰ τὴν χαράδραν ἐφράξαντο, ὥστε ἐπισχούσης ἡμέρας
τῆς τε προνοίας τῆς[17] Εὐφάους τοῖς Λακεδαιμονίοις ἐπιπί-
πτει λογισμὸς, εἶχόν τε οὔτε ὅπως μάχεσθαι χρὴ πρὸς τοὺς
Μεσσηνίους μὴ προϊόντας ἐκ τοῦ χάρακος, προσκαθῆ-
σθαί[18] τε ἀπεγίνωσκον ἀπαράσκευοι τοῖς πᾶσιν ὁμοίως
ὄντες. καὶ τότε μὲν ἀποχωροῦσιν οἴκαδε. (3) Ἐνιαυτῷ 7
δὲ ὕστερον κακιζόντων σφᾶς τῶν γεγηρακότων καὶ δειλίαν

pro inveterato odio impressionem facientem medius alveus cohibuit. Equites vero et levis armatura, quae numero et virtute utrinque par fuit, supra alvei intervallum proelium inierunt. Anceps diu certamen. Interea dum acriter dimicatur, iubet Euphaes servos iacto vallo primum tergum, deinde et latera sui agminis aggere munire. Quum vero nox ingrueret et pugna esset soluta, tunc et frontem castrorum circa alveum muniri iussit. Quare cum prima luce consilio Euphais animadverso facile intellexerunt Lacedaemonii, neque sibi pugnandi potestatem fore cum Messeniis, qui iam e castris non prodirent, et ad ea obsidenda, quum imparati ad id venissent, nullam in promptu esse facultatem. Domum itaque reverterunt. (3) Deinde qui consecutus est anno, quum iuventuti seniores ignaviam et iurisiu-

12. φερομένους Vb. mox συμμίσγουσιν Ag. tum ὑπὸ MVa.

13. ἀμφότεροι VbR, ad marg. οὐδέτεροι R. Tum ἰσόροπος MVa. ἰώροπος Lb.

14. ἐν om. AXKF, Codd. Posuere CSB e coni. F.

15. πρῶτα Lb. Sq. τὰ om. M.

16. ἐπέλαβεν VbPd. ἐπέλαυεν Ag. tum διέλυτο Va, διελύετο VbLa; seq. πρὸ om. Pc. mox χαράνδραν Vb.

17. τῆς εὐφ. Va; τοῦ Εὐφ. rell. εὐφαοῦς AXKFPdLabMVa; εὐφαοῦ̃ς (sic) Vb. tum τοῖς Λακεδαιμονίοις CSB; τοὺς Λακεδαιμονίους Edd. rell. Codd. E Va nihil enotavimus.

18. προςκαθῆσθαι CSB e coni. K; προκαθῆσθαι AXKF Codd. προκαθεῖσθαι Va.

τε ὁμοῦ προφερόντων[19] καὶ τοῦ ὅρκου τὴν ὑπεροψίαν,
οὕτω δευτέραν ἐκ τοῦ προφανοῦς ἐπὶ Μεσσηνίους στρα-
τείαν ἐποιοῦντο. ἡγοῦντο δὲ οἱ βασιλεῖς ἀμφότεροι, Θεό-
πομπός τε ὁ Νικάνδρου καὶ Πολύδωρος ὁ Ἀλκαμένους·[20]
Ἀλκαμένης δὲ οὐκέτι περιῆν. ἀντεστρατοπεδεύοντο δὲ καὶ
οἱ Μεσσήνιοι καὶ πειρωμένων μάχης[21] τῶν Σπαρτιατῶν
8 ἄρχειν ἀντεπεξῄεσαν. Λακεδαιμονίοις δὲ ἡγεῖτο Πολύδω-
ρος μὲν κατὰ τὸ κέρας τὸ ἀριστερὸν, Θεόπομπος δὲ ἐπὶ
τῷ δεξιῷ, τὸ μέσον δὲ εἶχεν Εὐρυλέων, τὰ μὲν παρόντα
Λακεδαιμόνιος, τὰ ἐξ ἀρχῆς δὲ ἀπὸ Κάδμου καὶ ἐκ Θηβῶν,
Αἰγέως τοῦ Οἰολύκου τοῦ Θήρα[22] τοῦ Αὐτεσίωνος ἀπό-
γονος πέμπτος. τοῖς δὲ Μεσσηνίοις κατὰ μὲν τὸ δεξιὸν
τῶν Λακεδαιμονίων ἀντετάσσοντο Ἄντανδρός τε καὶ Εὐ-
φάης, τὸ δὲ ἕτερον κέρας τὸ κατὰ τὸν Πολύδωρον Πυθά-
9 ρατος εἶχε,[23] Κλέονις δὲ τὸ μέσον. (4) Συνιέναι δὲ ἤδη
μελλόντων ἐπεὶ παριόντες[24] οἱ βασιλεῖς προέτρεπον τοὺς

randi contemptum exprobrantes grave convicium facerent, aperte altera in Messenios expeditio suscepta est. Rex uterque Theopompus Nicandri filius et Alcamenis Polydorus (decesserat enim Alcamenes ipse) exercitum eduxerunt. His cum agmine suo occurrerunt Messenii: ad pugnamque lacessiti adversa acie in hostem contenderunt. Laevo Lacedaemoniorum cornu Polydorus, Theopompus dextero praefuit: mediam aciem ducebat Euryleon, Lacedaemone quidem natus, sed Thebis a Cadmo oriundus. Nam ad Aegeum, Oiolyci filium, Therae nepotem, Autesionis pronepotem quinto posteritatis gradu origines suas referebat. Iam vero contra dexterum Lacedaemoniorum cornu Antander et Euphaes: adversus sinistrum, quod Polydorus regebat, stetit Pytharatus. In media acie Cleonis. (4) Quum prope iam esset, ut signa conferrent, progressi in medium duces suos

19. προφερονεύων Lb. mox στρατιὰν MPdAgVbLab; στρατίαν Va et (sec. exc. nostra) M.

20. ἀλκαμενοῦς Lb. tum οὐκέτι B. οὐκ ἔτι edd. rell. Lab. Sq. δὲ om. La.

21. μάχῃ ληστῶν σπαρτ. Ag. mox ἀντεπεξίεσαν AgVb; ἀντεπεξήυσαν La; ἀντεπεξῄησαν A. Deinceps εὐρυκλέων Ag.

22. θύρα La. αὐτοσίωνος Ag. αὐτεσίονος Vb. ἀντεσίωνος Lb.

23. εἶχεν VbAgM. tum κλέονις VabMLab; Κλέοννις rell.

24. περιόντες Ag; παριόντος Vb. Mox προέτρεπε τ. α. πρόσθεν μὲν La. προέπεμπον MLb; προέπεμπων, quo deleto supra lin. προέτρεπον R. tum τοὺς αὐτῶν AXKF Pd; αὐτῶν CSVbLab; ἑαυτῶν B PcAg.

αὐτῶν, πρὸς μὲν δὴ τοὺς Λακεδαιμονίους βραχεῖαν κατα
τὸ ἐπιχώριον τὴν παράκλησιν[25] ἐποιεῖτο ὁ Θεόπομπος,
τοῦ τε ὅρκου τοῦ κατὰ τῶν Μεσσηνίων ἀναμιμνήσκων,
καὶ ὡς καλόν σφισι[26] τὸ φιλοτίμημα, τῶν πατέρων, οἳ 297
τοὺς περιοίκους κατεδουλώσαντο, φανῆναι λαμπρότερα
εἰργασμένους καὶ χώραν εὐδαιμονεστέραν προσεκτημένους·
Εὐφάης δὲ μακρότερα μὲν εἶπεν ἢ ὁ Σπαρτιάτης, οὐ πλείω
δὲ οὐδ' οὗτος ἢ ἐφιέντα ἑώρα τὸν καιρόν. οὐ γὰρ περὶ
γῆς μόνον οὐδὲ[27] κτημάτων τὸν ἀγῶνα ἀπέφαινε γενησόμενον, εἰδέναι δὲ ἔφη σαφῶς ἃ νικωμένους[28] ἐπιλήψεται·
γυναῖκας μὲν γὰρ ἀχθήσεσθαι καὶ τέκνα ἐν ἀνδραπόδων
μέρει, τοῖς δὲ ἐν ἡλικίᾳ τὸ ἐλαφρότατον ἔσεσθαι θάνατον,
ἢν μετ' αἰκίας μὴ γένηται, συλήσεσθαι δέ σφισι καὶ τὰ
ἱερὰ καὶ τὰς πατρίδας ἐμπρήσεσθαι· λέγειν δὲ οὐκ εἰκάζων, μαρτύρια[29] δὲ ἐναργῆ πᾶσιν εἶναι τῶν ἐγκαταληφθέν-

utrinque ad rem strenue gerendam cohortati sunt. Ac Theopompus quidem suos perbrevi Lacedaemoniorum more oratione adhortatus memores esse iussit concepti contra Messenios iurisiurandi; pulcrum, praeclarum et honestum fore, si patribus, qui finitimos in servitutem redegissent, splendidiora edidisse facinora et feliciorem suis finibus adiecisse regionem viderentur. At Euphaes longiore quam Spartanus usus est oratione: nihilo plura tamen et hic dixit, quam tempus pati posse videretur. Non esse de agro tantum et fortunis propositum certamen: habere se prae oculis, quae victos maneret sors: coniuges et parvulos liberos in servitutem abductum iri: iis vero, qui iam adolevissent, levissimam poenam mortem fore, ea modo si absque contumelia et cruciatu contigisset: futurum, ut deorum templa diriperentur, sua cuiusque patria incendio deleretur. Neque vero se haec ex coniectura dicere; minime obscura unicuique documenta esse

25. VbLa et R ad marg. παρασκευήν. — Sq. ὁ om. AgPd.

26. σφισιν AgPd. tum φιλοτήμημα Vb. mox φανεῖναι Ag; tum ἐργασαμένους Va. προσεκτημένους BPcd. προςκεκτημένους Edd. rell. AgVabLab.

27. οὐδὲ — γενησόμενον om. M Va. ἀπέφαινε τὸ γενησ. Vb. ἀπεφαίνετο La.

28. ἀνικωμένους Pd; ἀνικομένους Ag; ἃ νικομένους Vb. mox καὶ τέκνα καὶ ἀνδρ. Vb. deinceps αἰκείας Pd. tum συλλήσεσθαι AgVb. tum σφ σιν Vb. ἐμπρήσασθαι MVa La.

29. μαρτύρια Pd, ut coni. S. μάρτυρα edd. codd. rell. tum ἐναργῆ CSBPcdAgVaLb; ἐν ἀρχῇ AXK FLaVb. ἐν ἀρχῆν M (ἐν ἀργῇ sec. exc. nostra). mox ἐνκαταληφθέντων Ag.

11 των ἐν Ἀμφείᾳ τὰ πάθη· πρό[30] τε δὴ τηλικούτων κακῶν κέρδος εἶναι καλῶς τινὰ ἀποθανεῖν· πολὺ δὲ εἶναι ῥᾷον ἀηττήτοις οὖσιν ἔτι καὶ τὰς τόλμας καθεστηκόσιν ἐξ ἴσου προθυμίᾳ τοὺς ἀντιτεταγμένους[31] ὑπερβαλεῖν ἢ προαποβαλόντας τὸ φρόνημα ἐπανορθοῦσθαι τὰ ἐπταισμένα. τοιαῦτα μὲν ὁ Εὐφάης εἶπεν.

## CAPUT VIII.

**De proelio a Messeniis cum Lacedaemoniis commisso et fortiter utrinque factis narratio.**

Ἐπεὶ δὲ ἑκατέροις ἐσήμηναν[1] οἱ ἡγεμόνες, Μεσσήνιοι μὲν δρόμῳ [τῷ] ἐς τοὺς Λακεδαιμονίους ἐχρῶντο καὶ ἀφειδῶς αὐτῶν[2] εἶχον ἅτε ἄνθρωποι θανατῶντες ὑπὸ τοῦ θυμοῦ, καὶ αὐτὸς ἕκαστος πρῶτος ἔσπευδεν ἄρξαι[3] μάχης, ἀντεπήεσαν δὲ καὶ οἱ Λακεδαιμόνιοι σπουδῇ καὶ οὗτοι, πρόνοιαν δὲ ὅμως ἐποιοῦντο μὴ διαλυθῆναί σφισι τὴν
2 τάξιν. ὡς δὲ πλησίον ἐγίνοντο, ἀπειλαῖς ἐχρῶντο τῶν τε

Signo Iovis medius imminet lacunaris vertex: ad eius dexteram galea armatus Oenomaus positus est: adsistit ei uxor Sterope, una de Atlantis filiarum numero. Sedet ante currum et equos Myrtilus Oenomai auriga. Ipsi quidem equi quatuor sunt. Myrtilo proximi viri duo, quibus non sunt adscripta nomina; sed et illis videri potest ab Oenomao demandata equorum curatio. In extremo lacunari Cladei *amnis* effigies cernitur. Huic Elei secundum Alpheum praecipuos habent honores. Ad Iovis laevam expressi sunt Pelops et Hippodamia, Pelopis auriga, equi ac viri duo et ipsi Pelopis equisones. Hic se laquear in angustum fastigium contrahit. Ea in parte Alpheus effictus est. Hominem eum, quo auriga usus est Pelops, Troezenii Sphaerum nomine prodidere. Interpres Olympicarum rerum Cillam *appel-*

18. δεξιᾷ τοῦ Διὸς ἐπικ. AXKPc AgVbLab; τοῦ Διὸς om. MVa, unde uncis inclusit F, eiecere CSB. Mox παραυτὸν, ὰ δὲ sup. vers. Va.

19. καὶ αὕτη SBPcAgVa; καὶ αὐτὴ AXKFCVbLab. mox μαρτύλος AgLa (υ super α in La); μυρτίλλος Vb.

20. αὐτῶν Ag. mox προσέτακτο, ad marg. προςετέτακτο R. προς-τέτακτο Va.

21. ἐς PcAgLab.

22. εἰς M. mox ἡνιόχει Sylb. ἡνιοχεῖ La. τὸ τροιζηνίων Lb.

23. ὁ om. Ag. mox ἔμπροσθεν τοῖς AXKSLabPcAgMVa; ἔμπρο-σθεν ἐν τοῖς FC; ἔμπροσθ' ἐν τοῖς B. ἔμπροσθεν ἀετ., sine τοῖς Vb. tum παιωνίων PdAg; παιώνιον Pa Vb; παιονιονίον γένος Va.

ἐν τοῖς ἀετοῖς ἐστι Παιωνίου, γένος ἐκ Μένδης[24] τῆς Θρακίας, τὰ δὲ ὄπισθεν αὐτῶν Ἀλκαμένους ἀνδρὸς ἡλικίαν τε κατὰ Φειδίαν[25] καὶ τὰ δευτερεῖα ἐνεγκαμένου σοφίας ἐς
400 ποίησιν ἀγαλμάτων. τὰ δὲ ἐν τοῖς ἀετοῖς ἐστιν αὐτῷ[26] Λαπιθῶν ἐν τῷ Πειρίθου γάμῳ πρὸς Κενταύρους ἡ μάχη. κατὰ μὲν δὴ τοῦ ἀετοῦ τὸ μέσον Πειρίθους ἐστί·[27] παρὰ δὲ αὐτὸν τῇ μὲν Εὐρυτίων ἡρπακὼς τὴν γυναῖκά ἐστι τοῦ Πειρίθου καὶ ἀμύνων Καινεὺς[28] τῷ Πειρίθῳ, τῇ δὲ Θησεὺς ἀμυνόμενος πελέκει τοὺς Κενταύρους· Κένταυρος δὲ ὁ μὲν παρθένον ὁ δὲ παῖδα ἡρπακώς ἐστιν ὡραῖον. ἐποίησε δὲ (ἐμοὶ δοκεῖν) ταῦτα ὁ Ἀλκαμένης, Πειρίθουν τε[29] εἶναι Διὸς ἐν ἔπεσι τοῖς Ὁμήρου δεδιδαγμένος καὶ Θησέα ἐπιστάμενος ὡς[30] εἴη τέταρτος [ἀπόγονος] Πέλο-
9 πος. ἔστι δὲ ἐν Ὀλυμπίᾳ καὶ Ἡρακλέους τὰ πολλὰ τῶν ἔργων. ὑπὲρ μὲν τοῦ ναοῦ[31] πεποίηται τῶν θυρῶν ἡ

*latum* aiebat. Quae igitur in antica lacunaris parte visuntur, Paeonii opus sunt, cui genus e Menda Thraciae oppido. Postica vero pars Alcamenis est opus, aetate sua signorum opificio uno tantum artifice inferioris. In ipsa testudine Lapithae cum Centauris in Pirithoi nuptiis pugnant. In media lacunaris parte est Pirithous. Prope Eurytion, Pirithoi sponsam rapiens, contra pugnante Caeneo. Altera ex parte Theseus securi Centauros obtruncans. E Centauris vero virginem alius *pubescentem*, alius puerum rapit aetate ac forma florentem. Fecit haec, opinor, Alcamenes, quod ex Homeri versibus didicerat Iovis Pirithoum filium fuisse: ac Theseum sciebat *generis ordine* quartum esse a Pelope. In eodem templo complures ex Herculis aerumnis elaboratae sunt. Supra fores enim Erymanthii apri

24. ἐκ Μένδης δὴ τῆς AXKFCM. et omisso ἐκ Vb. ἐκ μὲν δὴ τῆς PacRLb; ἐκ Μένδης τῆς SBPdAgLaVa. marg. R.

25. κατὰ ἰδίαν τὰ δευτερεῖα ἐνεγκ. AXKF. κατὰ ἰδίαν καὶ δευτερίαν ἐνεγκ. PcLabAgVab. κατὰ ἰδίαν καὶ δευτερείαν ἐνεγκαλουμένου M. κατὰ Φειδίαν CSB ex em. K. καὶ τὰ δευτερεῖα CS. καὶ δευτερεῖα B. ἐνεγκασμένου Lb.

26. αὐτοῦ C e coni. F. tum Λαπίθων AXKFCMVaLab. mox ἡ μάχη SBPcdAgMVb. ἡ om. AXKFCVa.

27. ἐστὶν AgLb.

28. κυνεὺς MAgVabLb: κυναινεὺς La. mox πῇ δὴ AgLab. ἀμυνώμενος Vb.

29. τε om. Vb; tum τοῦ Ὁμ. Va. — Il. XIV. 317.

30. ὅς εἴη Va; tum ἀπόγονος inseruimus iubente F; coll. c. 13, 1. τέταρτος γὰρ δὴ ἀπόγονος καὶ οὗτος ἦν Πέλοπος. C inseruit [ἀπὸ].

31. μὲν ταναοῦ Ag. tum τῶν θηρῶν Vb. Post θυρῶν haec fere exciderunt: ἡ ἐξ Ἀΐδου ἁρπαγὴ τοῦ κυνὸς καὶ ἡ ἐξ Ἀρκ. κ. τ. λ., ut acute perspexit O. Muellerus ad

ἐξ Ἀρκαδίας ἄγρα τοῦ ὑός, καὶ τὰ[32] πρὸς Διομήδην τὸν Θρᾷκα καὶ ἐν[33] Ἐρυθείᾳ πρὸς Γηρυόνην, καὶ Ἄτλαντός τε τὸ φόρημα ἐκδέχεσθαι μέλλων[34] καὶ τῆς κόπρου καθαίρων τὴν γῆν ἐστὶν Ἠλείοις· ὑπὲρ δὲ τοῦ ὀπισθοδόμου τῶν θυρῶν τοῦ[35] ζωστῆρος τὴν Ἀμαζόνα ἐστὶν ἀφαιρούμενος καὶ τὰ ἐς[36] τὴν ἔλαφον καὶ τὸν ἐν Κνωσσῷ ταῦρον καὶ ὄρνιθας τὰς ἐπὶ Στυμφήλῳ καὶ ἐς[37] ὕδραν τε καὶ τὸν ἐν τῇ γῇ τῇ Ἀργείᾳ λέοντα. (3) Τὰς θύρας δὲ ἐσιόντι[38] τὰς χαλκᾶς ἔστιν ἐν δεξιᾷ πρὸ[39] τοῦ κίονος Ἴφιτος ὑπὸ γυναικὸς στεφανούμενος Ἐκεχειρίας, ὡς τὸ ἐλεγεῖον τὸ ἐπ' αὐτοὺς[40] φησιν. ἑστήκασι δὲ καὶ ἐντὸς τοῦ ναοῦ κίονες, καὶ στοαί τε[41] ἔνδον ὑπερῷοι καὶ πρόσοδος δι' αὐτῶν ἐπὶ τὸ ἄγαλμά ἐστι. πεποίηται δὲ καὶ ἄνοδος[42] ἐπὶ τὸν ὄροφον σκολιά.

venatio est, et quae de Thrace Diomede tradita sunt. Ad haec Herculis eiusdem in Erythea insula contra Geryonem gestae res. Idem etiam Hercules Atlantis onus *vicaria opera* subiturus cernitur. Praeterea et Eleorum agrum fimo *amoto de Augeae stabulo* purgat. At supra postici fores Amazoni balteum eripit. Iam vero, quae de cervo et Gnossio tauro commemorantur, quae item de hydra *Lernaea* deque Stymphaliis volucribus et Nemeo leone ibidem expressa sunt. (3) Iam per aeneas fores ingressis est ad dexteram ante columnam Iphitus ab Ecechiria muliere coronam accipiens: nomina elegi indicant. Erectae sunt in templi parte interiore columnae, quae sublimes a terra sustinent porticus, per quas ad Iovis signum aditus patet. Attollit et inde se cochlea, per quam ad templi culmen scanditur.

Voelkelii Opera postuma Fasc. I. p. 76. Nam cum in parte postica sex, in parte antica quinque tantum metoparum symplegmata enumerentur, horum unum aut a Pausania ipso, aut scribarum ab uno ad alterum ὁμοιοτέλευτον facile aberrantium lapsu omissum esse necesse est.

32. κατὰ πρὸς Va.

33. ἐν om. Va; ἐρυθία Vab; γηριόνην MVabLb.

34. μέλλον AgMVabLb. Mox ὑπὸ δὲ Va.

35. ὁ τοῦ LabPcAgMVab. (Exc. nostra e M. silent).

36. τὰ ἐς om. Va. mox Κνωσσῷ Edd. Codd.

37. καὶ τὰ ἐς vult K.

38. ἐσιόντι SBPcAgMVabLab; εἰσιόντι AXKFC.

39. πρὸς τοῦ SVa. tum ὑπὸ CSB ex em. Schaef. in Melet. p. 83. ἀπὸ AXKFPcAgMVabLab.

40. ἐπ' αὐτοῖς C, ut iam Sylb. coniecit.

41. τε om. Vb. mox πρόοδος Edd. Codd. Scripsimus πρόσοδος e coni. B. mox ἐστιν Ag.

42. ἄνωδος Vb.

# CAPUT XI.

**Simulacri Iovis Olympii eiusque throni in templo Olympico accuratior descriptio.**

Καθέζεται μὲν δὴ ὁ[1] Θεὸς ἐν θρόνῳ χρυσοῦ πεποιημένος καὶ ἐλέφαντος· στέφανος δὲ ἐπίκειταί οἱ τῇ κεφαλῇ, μεμιμημένος ἐλαίας κλῶνας. ἐν μὲν δὴ τῇ δεξιᾷ φέρει Νίκην ἐξ ἐλέφαντος καὶ ταύτην καὶ[2] χρυσοῦ, ταινίαν τε ἔχουσαν καὶ ἐπὶ τῇ κεφαλῇ στέφανον· τῇ δὲ ἀριστερᾷ τοῦ θεοῦ χειρὶ ἔνεστι[3] σκῆπτρον μετάλλοις τοῖς πᾶσιν ἠνθισμένον. ὁ δὲ ὄρνις ὁ ἐπὶ τῷ σκήπτρῳ καθήμενος ἐστὶν ὁ
401 ἀετός. χρυσοῦ δὲ καὶ τὰ[4] ὑποδήματα τῷ θεῷ καὶ ἱμάτιον ὡσαύτως ἐστί·[5] τῷ δὲ ἱματίῳ ζῴδιά τε καὶ τῶν ἀνθῶν
2 τὰ κρίνά ἐστιν ἐμπεποιημένα. (2) Ὁ δὲ θρόνος ποικίλος μὲν χρυσῷ καὶ λίθοις, ποικίλος δὲ καὶ ἐβένῳ τε[6] καὶ ἐλέφαντί ἐστι· καὶ ζῷά τε ἐπ᾽ αὐτοῦ γραφῇ μεμιμημένα καὶ ἀγάλματά ἐστιν εἰργασμένα. Νῖκαι μὲν δὴ τέσσαρες, χο-

Cap. XI. Sedet in solio deus ex auro et ebore factus. Corona capiti imposita est, ad oleaginae frondis imaginem. Dextera Victoriam, et ipsam ex ebore et auro praefert, cum taenia et corona. Laeva manu sceptrum tenet omnium metallorum varietate distinctum. Quae avis sceptro incumbit, aquila est. Aurei sunt deo calcei, pallium item aureum. In eo tum diversa animalia tum ex omnibus florum generibus lilia in primis caelata sunt. (2) Solium ipsum auro et pretiosis praefulget lapidibus: neque in eo vel ebenum vel ebur desideratur: animalium vero formis intercurrente pictura exornatur. Signa etiam in eo emi-

Cap. XI. 1. ὁ om. Va. tum ἐπέκειται, MVa; seq. οἱ om. MVa Lb. mox κλῶναις Va.

2. καὶ om. Va.

3. χειρὶ ἔνεστι B ex em. Porsoni. χαριεν ἐστι (sic) Va. χάριέν ἐστι Edd. rell. PcVbM. χάριέν ἐστιν Ag. mox ἠθισμένον, ὁ δὲ ὄρνισος ἐπὶ Ag. ὄρνις ἐπὶ τῷ — ἐστὶν ἀετὸς M. ἔστιν ἀετός Va. τῷ σκήπτω — ἐστίν ᾽ὁ (sic) ἀετὸς La. ὁ ante ἀετὸς om. etiam Smin.

4. κατὰ ὑποδ. — ἱμάτιαν (o super α) — καὶ ἀνθῶν κρίνά ἐστιν Va.

5. ἐστὶν Ag. mox ἀνθέων S, sed ad IX, 41, 3. emendationis huius eum poenitet.

6. τῷ, ε super ῳ, La. ἐλέφαντί ἐστι· καὶ distinximus cum B; ante ἐστι rell. Mox μεμιμημένα CSB, ut voluere Schaef. ad Dionys. p. 290. Boettiger. Ideen zur Archaeol. d. Malerei, p. 245. μεμιγμένα AXK FPcAgMVabLb; μεμιγμέναι La. Sqq. καὶ ἀγάλματα — παρεχόμεναι om. La.

ρευουσῶν παρεχόμεναι σχῆμα, κατὰ ἕκαστον τοῦ θρόνου
τὸν πόδα· δύο δέ εἰσιν ἄλλαι πρὸς ἑκάστου πέζῃ ποδός.
τῶν ποδῶν [7] δὲ ἑκατέρῳ τῶν ἔμπροσθεν παῖδές τε ἐπίκεινται
Θηβαίων ὑπὸ σφιγγῶν ἡρπασμένοι, καὶ ὑπὸ τὰς σφίγγας
Νιόβης τοὺς παῖδας [8] Ἀπόλλων κατατοξεύουσι καὶ Ἄρτε-
μις. τῶν δὲ τοῦ [9] θρόνου μεταξὺ ποδῶν τέσσαρες κα- 3
νόνες εἰσὶν, ἐκ ποδὸς ἐς πόδα ἕτερον διήκων ἕκαστος.
τῷ [10] μὲν δὴ κατευθὺ τῆς ἐσόδου κανόνι ἑπτά ἐστιν [11]
ἀγάλματα ἐπ' αὐτῷ· τὸ γὰρ ὄγδοον ἐξ αὐτῶν οὐκ ἴσασι
τρόπον ὅντινα ἐγένετο ἀφανές. εἴη δ' ἂν ἀγωνισμάτων
ἀρχαίων [12] ταῦτα μιμήματα· οὐ γάρ πω τὰ ἐς τοὺς παῖδας
ἐπὶ ἡλικίας ἤδη καθειστήκει τῆς Φειδίου. τὸν δὲ αὐτὸν [13]
ταινίᾳ τὴν κεφαλὴν ἀναδούμενον ἐοικέναι τὸ εἶδος Παν-
τάρκει λέγουσι, μειράκιον δὲ Ἠλεῖον τὸν Παντάρκη παιδικὰ

nent, Victoriae quatuor saltantium specie ad singulos sellae pedes. Duae itidem ad pedum calcem sunt: ac prioribus quidem pedibus utrinque insistunt Thebanorum pueri a Sphingibus rapti. Infra Sphingas Niobes liberos Apollo et Diana sagittis configunt. Inter pedes discurrunt regulae, mutua illos compage iungentes. In ea quae in fronte regula est septem se adhuc ostendunt sigilla. Nam eorum octavum quae causa aboleverit, ignoratur. Sunt autem illa priscorum *inter viros* certaminum simulacra. Nondum enim, qua Phidias viguit aetate, puerorum instituta fuerant ludicra. Eum vero, qui taenia ipse sibi caput praecingit, ex corporis specie Pantarcem esse suspicantur, Eleum puerum,

7. τῶν ποδῶν SVa. τὸν πόδα AXKFCBPcAgLabMVb. mox ἄλλαι S tacite om.; deinceps φρυγῶν, quo expuncto σφιγγῶν Vb.

8. πόδας, αι super ο, La. tum κατατοξεύουσιν Ag.

9. ἐκ τοῦ θρόνου — εἰσὶ (εἰσὶν M), ποδὸς AXKFLabPcAgMVb. ἐκ τοῦ, αὐτοῦ ambig. in Va. τοῦ θρόνου εἰσὶν, ἐκ ποδὸς CSB e coni. Goldh. et Voelkelii. Mox διήκων FCSB ex em. Sylb.; διώκων AXKPcAgM VabLab.

10. τῶν μὲν Smin. τὸ μὲν Vb. tum κατευθὺ SBLab; κατ' εὐθὺ AXKFC.

11. εἰσιν MVa; mox εἴσασι Vb; tum ἀφανεὺς Vb; ἀφαρεὺς, sup. lin. νὲς, M.

12. ἀρχαίων om. MVaLb. mox post τοὺς παῖδας lacunam detexit O. Mueller Annal. Gotting. 1828. nr. 204. quam ita supplet: οὐ γάρ πω τὰ ἐς τοὺς παῖδας [μεμίμηται, καίπερ καὶ ταῦτα] ἐπὶ ἡλ. ἤδη καθειστήκει (καθεστήκει Ag) τῆς (τοῖς MVa) φειδίου; nam iam ante Phidiae aetatem puerorum certamina recepta erant; sed ex eo, quod haec a Phidia omissa sunt, Pausanias concludit, octo tantum certaminis genera, quae secundum Paus. V, 8, 3. antiquissima fuere, ab eo ficta esse.

13. αὐτῶν coni. C, probat S. mox λέγουσι SBMPcAgLab; λέγουσιν AXKFC.

εἶναι τοῦ[14] Φειδίου· ἀνείλετο δὲ καὶ ἐν παισὶν ὁ Παντάρκης πάλης νίκην Ὀλυμπιάδι ἕκτῃ πρὸς ταῖς ὀγδοήκοντα.
4 ἐπὶ δὲ τῶν κανόνων τοῖς λοιποῖς ὁ λόγος ἐστὶν ὁ σὺν Ἡρακλεῖ μαχόμενος πρὸς Ἀμαζόνας· ἀριθμὸς μὲν δὴ συναμφοτέρων ἐς ἐννέα ἐστὶ[15] καὶ εἴκοσι, τέτακται δὲ καὶ Θησεὺς ἐν τοῖς συμμάχοις τῷ Ἡρακλεῖ. ἀνέχουσι δὲ οὐχ οἱ πόδες μόνοι τὸν θρόνον, ἀλλὰ καὶ κίονες ἴσοι τοῖς ποσὶ μεταξὺ ἑστηκότες τῶν ποδῶν. ὑπελθεῖν[16] δὲ οὐχ οἷόν τέ ἐστιν ὑπὸ τὸν θρόνον, ὥσπερ γε [καὶ] ἐν Ἀμύκλαις ἐς τὰ ἐντὸς τοῦ θρόνου παρερχόμεθα·[17] ἐν Ὀλυμπίᾳ δὲ ἐρύ-
5 402 ματα τρόπον τοίχων πεποιημένα τὰ ἀπείργοντά ἐστι. τούτων τῶν ἐρυμάτων ὅσον μὲν[18] ἀπαντικρὺ τῶν θυρῶν ἐστίν, ἀλήλιπται κυανῷ μόνον,[19] τὰ δὲ λοιπὰ αὐτῶν παρέχεται Παναίνου γραφάς. ἐν δὲ αὐταῖς ἔστι μὲν οὐρανὸν καὶ

amore Phidiae devinctum. Idem Pantarces in lucta puerorum palmam est adeptus Olympiade sexta supra octogesimam. In ceteris regulis extat Herculis comitatus adversus Amazonas. Numerus utriusque partis coniunctus accedit ad XXIX. Inter Herculis socios est etiam Theseus. Non soli autem pedes solium fulciunt, sed mediae etiam inter binos pedes, pedibus magnitudine pares, columnae. Quod si penetrari subter posset, ut Amyclis intra Apollinis solium, interiora item opera persequi non essemus gravati. Sed quo minus propius accedant spectatores sepimentis quibusdam in parietum modum extructis solium intercluditur. *Eorum sepimentorum* pars, quae ex adverso ianuae est, caeruleo tantum oblita est; latera reliqua Panaeni picturas habent. Inter eas Atlas est coelum ac terram sustinens:

14. τοῦ om. AgLa. mox πρὸς τοῖς Vb.

15. ἐνέα LabAg. ἐστὶν Ag.

16. ἐπελθεῖν AgVa. ἀπὸ τὸν θρ. La. mox καὶ, quod deletum voluit Voelkel., uncis inclusimus. tum ἀμυκλαῖς Lab; ἀμικλαῖς Ag. ἐν om. MVa. mox τὸ ἐντὸς Smai. B ex em. Sylb. τὰ ἐντὸς FCSmin. ex em. Heynii Antiqu. Aufs. I. p. 4., quam confirmat La. τὸν ἐντὸς AXKPcAg MVabLb.

17. οὐ παρερχόμεθα AXK. οὐ om. FCSBLabVabPcAg; silet M. παρεχόμεθα LbPcAgVab. παρηρχόμεθα Sylb. quem sequitur C in interpretatione. Mox πεποιημένα· τὰ δὲ ἀπείργοντά ἐστι τούτων τῶν ἐρυμάτων. AXK; πεποιημένα, τὰ δὲ ἀπείργοντά ἐστι. τούτων FCSB Codd. πεποιημένα, τάδε ἀπείργοντά ἐστι Voelkel. et Smin., τάδε ad ὑπελθεῖν referentes. Nos δὲ auctore Coraio delevimus.

18. μὲν οὖν AXKF. οὖν om. CS BPcdAgMVab. mox ἐστὶν Ag. om. ἀλήπται La.

19. μόνῳ, ον super ω M. μόνων, ο sup. ω, Vb. μόνον τῶν τὰ La. mox παναίου Ag.

γῆν Ἄτλας ἀνέχων· παρέστηκε δὲ καὶ Ἡρακλῆς ἐκδέξασθαι τὸ[20] ἄχθος ἐθέλων τοῦ Ἄτλαντος. ἔτι δὲ Θησεύς τε καὶ Πειρίθους, καὶ Ἑλλάς τε καὶ Σαλαμὶς[21] ἔχουσα ἐν τῇ χειρὶ τὸν ἐπὶ ταῖς ναυσὶν ἄκραις ποιούμενον κόσμον, Ἡρακλέους τε τῶν ἀγωνισμάτων τὸ ἐς[22] τὸν λέοντα τὸν ἐν Νεμέᾳ καὶ τὸ ἐς Κασσάνδραν παρανόμημα Αἴαντος. Ἱππο- 6
δάμειά τε ἡ Οἰνομάου σὺν τῇ μητρί, καὶ Προμηθεὺς ἔτι[23] ἐχόμενος μὲν ὑπὸ τῶν δεσμῶν, Ἡρακλῆς δὲ ἐς αὐτὸν ἦρται.[24]. λέγεται γὰρ δὴ καὶ τόδε ἐς τὸν Ἡρακλέα, ὡς ἀποκτεῖναι μὲν τὸν ἀετὸν ὃς ἐν τῷ Καυκάσῳ τὸν Προμηθέα ἐλύπει, ἐξέλοιτο δὲ καὶ αὐτὸν Προμηθέα[25] ἐκ τῶν δεσμῶν. τελευταῖα δὲ ἐν τῇ γραφῇ Πενθεσίλειά τε ἀφιεῖσα τὴν ψυχὴν καὶ Ἀχιλλεὺς ἀνέχων ἐστὶν αὐτήν, καὶ Ἑσπερίδες δύο φέρουσι[26] τὰ μῆλα ὧν ἐπιτετράφθαι λέγονται τὴν φρουράν. Πάναινος[27] μὲν δὴ οὗτος ἀδελφός τε ἦν Φειδίου, καὶ αὐτοῦ[28] καὶ Ἀθήνησιν ἐν Ποικίλῃ τὸ Μαραθῶνι ἔργον ἐστὶ γεγραμμένον· ἐπὶ δὲ τοῖς ἀνωτάτω τοῦ θρόνου 7
πεποίηκεν ὁ Φειδίας ὑπὲρ τὴν κεφαλὴν τοῦ ἀγάλματος

adsistit Hercules iam prope illum onere levaturus. Cernitur etiam Theseus cum Pirithoo. *Veteris* praeterea Graeciae et Salaminis imagines. Haec navium rostra manibus prae se fert. Herculis cum leone Nemeo certamen, Aiacis in Cassandram contumelia. Tum Hippodamia Oenomai filia cum matre. Vinculis districtus Prometheus, et ad eum erectus Hercules. Traditum enim est hoc etiam negotii Herculem habuisse, ut Prometheum aquila, quae illum male in Caucaso mulctabat, interemta e vinculis exemerit. Postrema in pictura sunt Penthesilea animam agens, eam sustinente Achille. Et Hesperides duae mala ferunt, quae ipsarum dicuntur fuisse commissa custodiae. Panaenus quidem hic Phidiae frater fuit, qui Atheniensibus etiam in Poecile Marathoniam pugnam pinxit. In solii puteali, supra simulacri caput, fecit Phidias Gratias una ex parte tres, totidem

20. τῶν ἄχθος M habere falso refert S. δὲ θησεύς τε om. La.
21. σαμὶς Vb.
22. τὸ ἐς KFCSB ex em. Sylb., quam confirmat La; τῶν ἐς AXPcAg LbMVb; ἐς, omisso articulo, Va. mox τε ἐν οἰνομάου Lb.
23. ἐστὶ Pc.
24. ἦρται La, quod recepimus tanquam codd. consensu probatum, nam: ἦραι LbMR; ἦραι Pc. Edd. et ad marg. R. ὁρῶν, quae lectio correctoris manum prodit.
25. προμυθέα, hic et postea, Vb. mox πενθέσι λεία La.
26. φέρουσαι coni. C.
27. πάναιμος Ag, omisso sq. τε.
28. καὶ αὐτῷ — ἐστὶ γεγρ. coni. S. mox πικοίλῃ Ag. tum ἐπὶ δὲ αὐτοῖς ἀνωτ. La. ἐνὶ ἰλιάδι id.

τοῦτο μὲν Χάριτας, τοῦτο δὲ Ὥρας, τρεῖς ἑκατέρας. εἶναι γὰρ θυγατέρας Διὸς καὶ ταύτας ἐν ἔπεσίν ἐστιν εἰρημένα· Ὅμηρος δὲ ἐν Ἰλιάδι ἐποίησε τὰς Ὥρας καὶ ἐπιτετράφθαι τὸν οὐρανὸν, καθάπερ τινὰς φύλακας βασιλέως αὐλῆς. τὸ ὑπόθημα δὲ τὸ[29] ὑπὸ τοῦ Διὸς τοῖς ποσὶν ὑπὸ τῶν ἐν τῇ Ἀττικῇ καλούμενον θρανίον λέοντάς τε χρυσοῦς καὶ Θησέως ἐπειργασμένην ἔχει μάχην τὴν πρὸς Ἀμαζόνας, τὸ Ἀθηναίων πρῶτον ἀνδραγάθημα ἐς οὐχ ὁμο-
8 φύλους. (3) Ἐπὶ δὲ τοῦ βάθρου τοῦ τὸν[30] θρόνον τε
403 ἀνέχοντος καὶ ὅσος ἄλλος κόσμος περὶ τὸν Δία, ἐπὶ τούτου τοῦ βάθρου χρυσᾶ ποιήματα, ἀναβεβηκὼς ἐπὶ ἅρμα Ἥλιος καὶ Ζεύς τέ ἐστι καὶ Ἥρα, παρὰ δὲ αὐτὸν[31] Χάρις· ταύτης δὲ Ἑρμῆς ἔχεται, τοῦ Ἑρμοῦ δὲ Ἑστία·[32] μετὰ δὲ τὴν Ἑστίαν Ἔρως ἐστὶν ἐκ θαλάσσης Ἀφροδίτην ἀνιοῦσαν ὑποδεχόμενος· τὴν δὲ Ἀφροδίτην στεφανοῖ Πειθώ. ἐπείργασται δὲ καὶ Ἀπόλλων σὺν Ἀρτέμιδι, Ἀθηνᾶ τε καὶ Ἡρακλῆς, καὶ ἤδη τοῦ βάθρου πρὸς τῷ πέρατι Ἀμφιτρίτη καὶ Ποσειδῶν, Σελήνη τε ἵππον (ἐμοὶ δοκεῖν) ἐλαύνουσα.

Horas ex altera. Nam et has Iovis esse filias poetarum carminibus proditum. Horas certe Homerus in Iliade nominavit, coelique illis dixit, quasi regiae domus excubiis, custodiam attributam. In basi ea, quae pedibus subest, (*θρανίον* Attici appellant) leones aurei et contra Amazones Thesei pugna caelata est. Fuit haec nempe prima pugna contra exteras gentes suscepta, quae Atheniensium nomen nobilitavit. (3) In eo vero scamillo, qui universam signi molem sustinet, alia quaedam sunt supervacanei operis, quasi emblemata ex auro. In currum ascendunt Sol, Iupiter et Iuno. Praesto est Gratia. Eam Mercurius amplectitur: Mercurium Vesta. Continenti fere spatio Amor Venerem e mari emergentem excipit, cui Suada coronam defert. Adsunt Apollo cum Diana, Minerva, Hercules. In ima basi cernuntur Amphitrite et Neptunus: equum Luna, ut mihi vi-

29. *τὸ* om. Va; tum *ὑπὸ τὸν θρόνιον* idem. *ὑπὸ τοῦ ἐν* La. *θράνιον* Lab.

30. *τοῦ τὸν* CSmai. B, in C. *τὸν* uncis inclusum. *τοῦ* om. LabPcAg FabVb. *τὸν* om. AXKFSmin MVa; *θρόνου* MVa. Mox *ὅσος* CSB ex em. F. *ὅρος* AXKFLabPcAgMVa; *ὅρος ἄλσος* Vb. *'καὶ πρὸς, ἄλλος* s. *καὶ πρὸς ἄλλοις* coni. K; *καὶ ὡς ὅρος* s. *ὅρμος ἐστὶ καὶ ἄλλος* Goldh.

31. *αὐτὴν* Welcker Zeitschr. I, 3. p. 551. *χάριν* La.

32. *ἐστὶν ἃ* LbMAgR: in R deletum et *ἑστία* ad marg. *δ' ἑστία* Va. *ἑτία* La.

τοῖς δέ ἐστιν εἰρημένα ἐφ᾽ ἡμιόνου τὴν[33] θεὸν ὀχεῖσθαι καὶ οὐχ ἵππου, καὶ λόγον γέ τινα ἐπὶ τῷ ἡμιόνῳ λέγουσιν εὐήθη. (4) Μέτρα δὲ τοῦ ἐν[34] Ὀλυμπίᾳ Διὸς ἐς ὕψος 9
τε καὶ εὖρος ἐπιστάμενος γεγραμμένα οὐκ ἐν ἐπαίνῳ θήσομαι τοὺς μετρήσαντας, ἐπεὶ καὶ τὰ εἰρημένα αὐτοῖς μέτρα πολύ τι ἀποδέοντά ἐστιν ἢ τοῖς ἰδοῦσι[35] παρέστηκεν ἐς τὸ ἄγαλμα δόξα, ὅπου γε καὶ αὐτὸν τὸν θεὸν μάρτυρα ἐς τοῦ Φειδίου τὴν τέχνην γενέσθαι λέγουσιν. ὡς γὰρ δὴ ἐκτετελεσμένον ἤδη τὸ ἄγαλμα ἦν, ηὔξατο[36] ὁ Φειδίας ἐπισημῆναι τὸν θεὸν εἰ τὸ ἔργον ἐστὶν αὐτῷ κατὰ γνώμην· αὐτίκα δ᾽ ἐς τοῦτο τοῦ ἐδάφους κατασκῆψαι κεραυνόν φασιν, ἔνθα ὑδρία[37] καὶ ἐς ἐμὲ ἐπίθημα ἦν ἡ χαλκῆ. (5) Ὅσον δὲ τοῦ ἐδάφους ἐστὶν ἔμπροσθεν τοῦ 10
ἀγάλματος, τοῦτο οὐ λευκῷ μέλανι δὲ κατεσκεύασται τῷ λίθῳ. περιθεῖ δὲ ἐν κύκλῳ τὸν μέλανα λίθον[38] Παρίου κρηπίς, ἔρυμα εἶναι τῷ ἐλαίῳ τῷ ἐκχεομένῳ. ἔλαιον γὰρ

detur, ad cursum incitat. Etsi mulis ferunt, non equis, deam vehi, futili quadam de mulo fabula vulgata. (4) Et Olympii quidem Iovis signum quam alte lateque pateat, linearum descriptionibus qui demonstrare conati fuerint, quum sciam non defuisse, eorum mihi certe parum est in metiendo probata sollertia. Est enim ea tota dimensio inferior multo prope aspicientium opinione. Tradunt certe ipsius dei auctoritate Phidiae artem comprobatam. Nam quum expolito iam opere Iovem orasset, significationem ut sibi aliquam daret, numquid illud ipsi acceptum esset et gratum opus, eam pavimenti partem repente de coelo tactam memorant, quo loco usque ad aetatem meam urna visitur aenea et impositum ei operculum. (5) Et a signi quidem fronte pavimentum nigro, non candido marmore constratum est, ambit nigrum marmor circumcirca crepido e Pario lapide. Ea cohibetur oleum, quod effunditur: oleum enim

33. τὸν, ἡ super ὁ M; τὸν Vab Lb.

34. τοῦ ἐν ἐν ὀλ. Vb. mox αὐτοῖς μέτρα om. La.

35. ἰδοῦσιν Ag. ἰδοῦσιν ἐς τὸ ἄγ. παρέστ. δόξα Vb. mox τὸν om. La.

36. ἤρξατο Va; ἐπισημεῖναι Vb; mox φασὶ M.

37. ἰδρύα, ὑ super ἰ et ι super ύ, M. ἰδρύα Vb. tum καὶ ἐς ἐμὲ ἐπίθημα LabMAgVab. καὶ ἐπίθημα ἐς ἐμὲ Edd.

38. λίθον Vab. ἔρημα VaM, in hoc υ sup. η. ἐκχεωμένῳ AgVb; in hoc ο sup. ω. ἐκδεχομένῳ Pc. ἐγχεομένῳ C, ut iam Sylb. coniecit; probat Voelckel. Mox τὸ ἀγάλμ. Va. tum γίγνεσθαι AgVbLa.

τῷ ἀγάλματί ἐστιν ἐν Ὀλυμπίᾳ συμφέρον, καὶ ἔλαιόν ἐστι τὸ ἀπεῖργον μὴ γίνεσθαι τῷ ἐλέφαντι βλάβος διὰ τὸ ἑλῶδες τῆς Ἄλτεως. ἐν ἀκροπόλει δὲ τῇ Ἀθηναίων τὴν καλου-
404 μένην παρθένον οὐκ ἔλαιον, ὕδωρ δὲ τὸ ἐς τὸν ἐλέφαντα[39] ὠφελοῦν ἐστίν· ἅτε γὰρ αὐχμηρᾶς τῆς ἀκροπόλεως οὔσης διὰ τὸ ἄγαν ὑψηλὸν τὸ ἄγαλμα ἐλέφαντος πεποιημένον
11 ὕδωρ καὶ δρόσον τὴν ἀπὸ τοῦ ὕδατος ποθεῖ. ἐν Ἐπιδαύρῳ δὲ ἐρομένου μου[40] καθ' ἥντινα αἰτίαν οὔτε ὕδωρ τῷ Ἀσκληπιοῦ σφίσιν οὔτε ἔλαιόν ἐστιν ἐγχεόμενον, ἐδίδασκόν με οἱ περὶ τὸ[41] ἱερὸν ὡς καὶ τὸ ἄγαλμα τοῦ θεοῦ καὶ ὁ θρόνος ἐπὶ φρέατι εἴη πεποιημένα.

## CAPUT XII.

De ebore, elephanti cornu, non dente — velo laneo in templo Iovis Olympii — donariis et signis huius templi — Adriani et Traiani imperator. statuis operibusque Traiani insignibus — Augusti imperator. signo ex electro et Nicomedis ex ebore confecto — de electro — Neronis et aliis donariis.

Ὅσοι δὲ ἀνθρώπων τὰ διὰ τοῦ στόματος ἐς τὸ ἐκτὸς ἐλέφασιν[1] ἐξίσχοντα ὀδόντας τῶν θηρίων εἶναι καὶ οὐ

Olympico simulacro propterea adhibetur, quia prohibet, ne quam e paludosa luci natura ebur contrahat noxam. At contra in Atheniensium arce, eminenti scilicet et saxoso loco, ebur, e qua materia factum est Minervae signum, quam ipsi virginem vocant, non oleo, sed aquae aspersu a siccioris loci incommodis vindicatur. Epidauri certe quum percontarer, cur neque oleum, neque aqua esset adhibita *ad arcendam ab Aesculapii signo noxam*, docuerunt me aeditui, solium, cui signum insideret, puteo imminere.

Cap. XII. Quod vero ad ebur pertinet, si qui hominum ea, quae ex elephantorum ore exerta prominent, istarum bel-

39. ἐλέφαν M. tum λειος οὔσης — δρόσον τὴν ἀπὸ bis in La.
40. μου om. MVa. mox τῷ Ἀσκληπιοῦ S, ut coni. F. τῷ Ἀσκληπιῷ coni. Coraes. τοῦ Ἀσκληπιοῦ Edd. rell. Codd. tum ἐχεόμενον Ag.
41. τὸν MLb. Sq. καὶ om. MVa Lb. Post τὸ ἄγαλμα La iterum inserit ἐλέφαντος πεποιημένον — περὶ τὸ ἱερὸν, iterumque habet τοῦ ἀσκληπιοῦ.

Cap. XII. 1. τοῖς ἐλέφασι vult Schaefer in ed. Porson. Hec. Eurip. p. 59. Tum δόντας Va. Sqq. τῶν θηρίων — ἐς τὰς om. La. ἡγοῦνται AgVa. tum ἐστὶν ἀπιδεῖν AXKFC. ἐπιδεῖν Vb; mox ἀλκὰς et ἀλκαὶ id.

κέρατα ἥγηνται, τούτοις ἔστιν ἀπιδεῖν μὲν ἐς τὰς ἄλκας,
τὸ ἐν Κελτικῇ θηρίον, ἀπιδεῖν δὲ ἐς τοὺς Αἰθιοπικοὺς
ταύρους. ἄλκαι μὲν γὰρ[2] καὶ κέρατα ἐπὶ ταῖς ὀφρύσιν
ἔχουσιν οἱ ἄῤῥενες, τὸ δὲ θῆλυ οὐ φύει τὸ παράπαν· οἱ
δὲ Αἰθιοπικοὶ ταῦροι τὰ κέρατα φύουσιν ἐπὶ τῇ ῥινί. τίς
ἂν οὖν ποιήσαιτο ἔτι ἐν μεγάλῳ θαύματι διὰ στόματος
ζῴῳ[3] κέρατα ἐκφῦναι; πάρεστι δὲ ἀναδιδάσκεσθαι καὶ
τοῖσδε ἔτι· κέρατα γὰρ κατὰ ἐτῶν περίοδον ἀπογίνεται καὶ 2
αὖθις ἐκβλαστάνει ζῴοις· καὶ τοῦτο ἔλαφοί τε καὶ δορκά-
δες, ὡσαύτως δὲ καὶ οἱ ἐλέφαντες[4] πεπόνθασιν. ὀδοὺς
δὲ οὐκ ἔστιν ὅτῳ δεύτερα παρέσται ζῴῳ τῶν γε ἤδη τε-
λείων. εἰ[5] δὲ ὀδόντες τὰ διὰ στόματος ἐξίσχοντα καὶ μὴ
κέρατα ἦσαν, πῶς ἂν καὶ ἀνεφύοντο αὖθις; οὐ μὴν οὐδὲ
εἴκειν πυρὶ ἔχουσιν ὀδόντες φύσιν· κέρατα δὲ καὶ βοῶν 105
καὶ ἐλεφάντων ἐς ὁμαλές τε ἐκ περιφεροῦς καὶ ἐς ἄλλα
ὑπὸ πυρὸς ἄγεται σχήματα. Ποταμίοις γε μὴν ἵπποις καὶ
ὑσὶν ἡ κάτωθεν γένυς τοὺς χαυλιόδοντας φέρει· κέρατα

luarum dentes esse, non cornua, existimant, ab alce illi, Gallica fera, et tauris Aethiopicis specimen capiant. Alcae enim, qui mares sunt, (nam foeminis nulla omnino prodeunt cornua) e superciliis, Aethiopici tauri e naribus cornua extrudunt. Quis igitur in magno ponat miraculo, esse animal, cuius ex ore erumpant cornua? Argumento et illud esse *facile* potest, *illam eboris molem cornua esse*, quod bestiae sunt, quae certo ratoque temporis ambitu cornua abiiciant, rursusque illa, quoties amiserint, reponant. Hoc cervis, capreis, et idem elephantis accidit. Dens certe animalium nulli iam adulto, quum semel decidit, renascitur. Quare si dentes essent, et non cornua, quae naturae vis, ut renascerentur, efficere potuisset? Ad haec dentes igni domari nequeunt: at boum et elephantorum cornua sic igni emolliuntur, ut vel ex tereti planam vel aliam quamvis accipiant figuram. Quid, quod ex inferiore mandibula fluviales equi, et apri sannas exerunt? cornua vero e maxillis

2. γὰρ καὶ om. MVa. (falsa refert S). καὶ om. AgLab. ὀφνύσιν La. Mox οἱ ἀρκάδες, expuncto κάδες, ρενες Vb.

3. ζώου Ag.

4. „τοῦτο δὲ οὔ μοι πιστὸν" Palmer. MS. Ad sqq. καὶ ἐλεφάντων ἐς ὁμαλὲς id. notat: „οὐδὲ τοῦτο πιστόν." ὀδοὺς Vab; idem in M. esse videtur, tum τε pro δὲ Vb; ἔσται Va.

5. οἱ δὲ Ag., εἰ ὀδόντες Vb. mox κέρατα εἶναι, sup. vers. ἦσαν, M. εἴκειν περὶ La. Ad sqq. η κάτωθεν γένυς Palmer. MS. notat: „τοῦτο δὲ παντάπασι ψευδές· οἱ γὰρ ὕες χαυλιόδοντας φέρουσιν ἐν τῇ ἄνωθεν γέννι."

3 δὲ ἀναφυόμενα οὐχ[6] ὁρῶμεν ἐκ γενύων. ἐλέφαντι οὖν τὰ κέρατα ἴστω τις διὰ κροτάφων κατερχόμενα ἄνωθεν καὶ οὕτως ἐς τὸ ἐκτὸς[7] ἐπιστρέφοντα. τοῦτο οὐκ ἀκοῇ γράφω, θεασάμενος δὲ ἐλέφαντος ἐν γῇ τῇ Καμπανῶν κρανίον ἐν Ἀρτέμιδος ἱερῷ· σταδίους δὲ ὡς τριάκοντα ἀπέχει μάλιστα Καπύης[8] τὸ ἱερόν, αὕτη δὲ ἡ μητρόπολις ἔστιν ἡ Καπύη τῶν Καμπανῶν. ὁ μὲν δὴ ἐλέφας παρὰ τὰ λοιπὰ ζῷα διάφορον καὶ τὴν ἔκφυσιν παρέχεται τῶν κεράτων, ὥσπερ γε καὶ τὸ μέγεθός ἐστιν αὐτῷ καὶ εἶδος οὐδὲν ἐοικότα ἑτέρῳ θηρίῳ. φιλότιμοι δὲ ἐς[9] τὰ μάλιστά μοι καὶ ἐς θεῶν τιμὴν οὐ φειδωλοὶ χρημάτων γενέσθαι δοκοῦσιν οἱ Ἕλληνες, οἷς γε παρὰ Ἰνδῶν ἤγετο καὶ ἐξ Αἰθιοπίας ἐλέφας ἐς ποίησιν ἀγαλμάτων.

4 (2) Ἐν δὲ[10] Ὀλυμπίᾳ παραπέτασμα ἐρεοῦν κεκοσμημένον ὑφάσμασιν Ἀσσυρίοις καὶ βαφῇ πορφύρας τῆς Φοι-

exerta nusquam videmus. In elephantis vero, quum a superiore id, quod dentes multi esse putarunt, descendat maxilla, me auctore dubitarit nemo cornua illa esse, quae a temporibus orta per os extrorsum resupinata sese efferant. Haec ego non auribus, sed ipsis accepta oculis scribo, elephanti calvam conspicatus in Dianae; quod templum in Campania nobile, a Capua (quae regionis totius caput est) abest stadia ferme XXX. Est igitur longe alia, quam ceteris quadrupedibus, elephanto cornuum eruptio, sicuti ei et corporis vastitas et reliqua forma valde est a reliquo belluarum genere diversa. Quam vero Graeci splendidi et magnifici ac minime omnium parci in colendis Dis fuerint, magno illud documento est, quod ex India et ab Aethiopibus ebur ad signa deorum facienda advehendum curarint. (2) Et in Olympii quidem templo laneum velum tum textili Assyriorum opere tum Phoenicum purpura luculentum dedicavit

6. οὐχ e La recepimus: tum ἐκ γενύων AXKFCSVbLa (γενίων La) unde Sylb. post κέρατα δὲ inserere voluit ἐλέφασιν. Kuhnio negandi particulam excidisse censente F. voluit οὐκ ἐκ γενύων, C edidit οὐχ ὁρῶμεν ἐκ γενύων, S. interrogandi signo post γενύων posito negandi vim assecutus esse sibi visus est: LbAgPcMVa ἐκ καινίων, unde B auctore Boeckhio probante O. Muellero Annal. Gotting. 1828. nr. 204. edidit ἐκ κρανίων. Fortasse verba ποταμίοις γε μὴν — ὁρῶμεν ἐκ κρανίων ab aliquo adversario ad marginem adiecta et deinde in textum illata sunt: certe iis omissis recte progreditur argumentatio.

7. ἔκτον Pc. mox ἀκοῇ VaS; ἀκοὴν Edd. rell. PcAgLab. tum ἐν νῇ τῇ Lb.

8. καμπύας et mox ἡ καμπύη Va. mox ἡ ante μητρόπολις omittendum censet Coraes.

9. δὲ ἐς τὰ μάλιστά μοι om. M. mox φειδολοὶ Ag. tum ἐς ποίησιν οἱ ἕλληνες οι ἀγαλμάτων La.

10. δ' ὀλυμπ. Va.

νίκων ἀνέθηκεν Ἀντίοχος, οὗ δὴ καὶ ὑπὲρ τοῦ θεάτρου
τοῦ Ἀθήνησιν[11] ἡ αἰγὶς ἡ χρυσῆ καὶ ἐπ' αὐτῆς ἡ Γοργὼ
ἐστιν ἀναθήματα. τοῦτο οὐκ ἐς τὸ ἄνω τὸ παραπέτασμα
πρὸς τὸν ὄροφον, ὥσπερ γε ἐν[12] Ἀρτέμιδος τῆς Ἐφεσίας
ἀνέλκουσι, καλωδίοις δὲ ἐπιχαλῶντες καθιᾶσιν ἐς τὸ ἔδα-
φος. (3) Ἀναθήματα δὲ ὁπόσα ἔνδον ἢ ἐν τῷ προνάῳ 5
κεῖται, θρόνος ἐστὶν Ἀριμνήστου[13] τοῦ βασιλεύσαντος ἐν
Τυρσηνοῖς, ὃς πρῶτος βαρβάρων ἀναθήματι τὸν ἐν Ὀλυμ- 406
πίᾳ Δία ἐδωρήσατο, καὶ ἵπποι Κυνίσκας χαλκοῖ, σημεῖα
Ὀλυμπικῆς[14] νίκης. οὗτοι μέγεθος μὲν ἀποδέουσιν ἵπ-
πων, ἑστήκασι δὲ ἐν τῷ προνάῳ τοῖς ἐσιοῦσιν ἐν δεξιᾷ.
κεῖται δὲ καὶ τρίπους ἐπίχαλκος, ἐφ' οὗ, πρὶν ἢ τὴν τρά-
πεζαν ποιηθῆναι προετίθεντο[15] τοῖς νικῶσιν οἱ στέφανοι.
(4) Βασιλέων δὲ ἀνδριάντας, Ἀδριανοῦ μὲν αἱ ἐς τὸ Ἀχαϊ-
κὸν τελοῦσαι πόλεις ἀνέθεσαν Παρίου λίθου, Τραϊανοῦ 6
δὲ οἱ πάντες Ἕλληνες. οὗτος προσεκτήσατο ὁ βασιλεὺς

rex Antiochus. Eiusdem donum fuit aegis aurea, addita Gorgone, quae Athenis in theatri fastigio inter cetera dona locata est. Velum non, quo more fit in Dianae Ephesiae templo, subter lacunar sursum attollitur, sed ad pavimentum usque laxatis funibus demittitur. (3) Inter ea vero donaria, quae intus vel in atrio templi posita sunt, extat solium Arimnesti Hetruscorum regis, qui primus exterorum donum Olympio Iovi misit: tum aenei equi, quos Cynisca dicavit, Olympicae victoriae monumentum, veris illos quidem equis magnitudine inferiores, locati sunt in primo templi aditu ingredientibus ad dexteram. Extat item tripus aere obductus, super quo victoribus, priusquam mensa erigeretur, coronae proponebantur. (4) Romanis vero Imperatoribus statuas e Pario lapide, Adriano urbes Achaici conventus, Traiano universi Graeci erexerunt. Hic

11. Ἀθήνησι ἡ AXKFC. mox ἡ Γοργὼ ἐστιν ἀναθήματα scripsimus e coni. Γοργὼ, ἡ ἐς τὰ ἀναθήματα Edd. Codd. Γοργὼ ἦν ἐς τὰ ἀναθ. coni. Coraes.
12. ἐν Ἀρτ. BPcAgLab; ἐν om. rell. Tum ἀνέλκουσιν καθικᾶσιν Ag.
13. Ἀριμνήστου τοῦ scripsimus e coni. Ἀρίμνου τοῦ Edd. Vab; ἀρίμνους τοῦ La; Ἀριμνης τοῦ LbMPc Ag, „ut fuerit Ἀριμνήστου," B. mox τυρσινοῖς AgVb. Mox τῶν ἐν Ὀλ. Vb; τὸν ἐς ὀλ. Va; τὸν ἐκ ὀλ. ap. B. est vitium typoth. Deinceps κινίσκας, υ sup. ι, Vb; in Va κυνίσκους esse videtur.
14. Ὀλυμπιακῆς CSM; Ὀλυμπικῆς AXKFBPcAgLab. νίκης om. Ag. pro οὗτοι C. coni. οὗ τοι.
15. προστίθεντο La. tum ἀδριάντας M. ἀνδριανοῦ Va. παρίνου λίθου La.

Γέτας τοὺς ὑπὲρ Θρᾴκης,[16] Ὀσρόῃ τε τῷ ἀπογόνῳ τῷ Ἀρσάκου καὶ Πάρθοις ἐπολέμησεν. ὁπόσα δὲ ἐς ἔργων ἔχει οἱ κατασκευὴν, ἀξιολογώτατά ἐστι[17] λουτρὰ ἐπώνυμα αὐτοῦ, καὶ θέατρον μέγα κυκλοτερὲς πανταχόθεν, καὶ οἰκοδόμημα ἐς ἵππων δρόμους προῆκον καὶ ἐς δύο σταδίων μῆκος, καὶ ἡ Ῥωμαίων ἀγορὰ κόσμου τε εἵνεκα τοῦ λοιποῦ θέας ἀξία καὶ μάλιστα ἐς τὸν ὄροφον χαλκοῦ πεποιημέ-
7 νον. (5) Αἱ δὲ εἰκόνες αἱ τοῖς κατασκευάσμασι[18] τοῖς περιφερέσιν ἐγκείμεναι, ἡ μὲν τοῦ ἠλέκτρου βασιλέως Ῥωμαίων ἐστὶν Αὐγούστου, ἡ δὲ τοῦ ἐλέφαντος βασιλέως Νικομήδους ἐλέγετο εἶναι Βιθυνῶν. ἀπὸ τούτου δὲ καὶ τῇ μεγίστῃ τῶν ἐν Βιθυνίᾳ[19] πόλεων μετεβλήθη τὸ ὄνομα Ἀστακῷ τὰ πρὸ τούτου καλουμένῃ· τὰ δὲ ἐξ ἀρχῆς αὐτῇ Ζυποίτης ἐγένετο οἰκιστὴς, Θρᾷξ γένος, εἰκάζοντί γε ἀπὸ τοῦ ὀνόματος. (6) Τὸ δὲ ἤλεκτρον τοῦτο οὗ[20] τῷ Αὐγούστῳ πεποίηνται τὴν εἰκόνα, ὅσον μὲν αὐτόματον ἐν τοῦ Ἠριδανοῦ ταῖς ψάμμοις εὑρίσκεται, σπανίζεται τὰ μάλιστα καὶ ἀνθρώπῳ[21] τίμιον πολλῶν ἐστιν ἕνεκα· τὸ

imperio P. R. Getas, qui supra Thracas sunt, adiunxit; et cum Osroe Arsacis nepote, Parthorum rege, bellum gessit. Operibus praeterea *quam plurimis urbem* exornavit: quorum ceteris magnificentia praestant thermae, quae ab ipso nomen acceperunt: et magno extructum ambitu amphitheatrum: ad haec hippodromus, non breviore stadium duum spatio: tum forum Romanum, et reliquo ornatu insigne, et maxime aere exornato lacunari. (5) Inter cetera vero *eius fori insignia* teretibus insistunt scamillis statuae duae; ex electro una, Augusti Caesaris; altera ex ebore, Nicomedis Bithyniae regis, de cuius nomine urbs Bithyniae maxima appellata est, quum ante Astacus nuncuparetur. Condita ea quondam dicitur a Zypoete homine Thrace, quantum ex ipsa nominis voce coniici possit. (6) Electrum quidem, ex qua materia statuam Augusto fecerunt, in Padi fluminis arenis rarum omnino repertu est. Id, qui nacti fuerint, non temere magni aestimant. Est alioqui electrum aliud nihil,

16. θράκης p. corr. ex θράκας Lb. θρᾶκας Ag; ὀρόη Va; tum ἀρκάσου πάρθους id.
17. ἐστιν Ag. mox προήκων AX Vb; iam correxit Sylb. Tum κόσμους τε εἵνεκα La.
18. κατασκευάσασιν Ag.
19. Βυθινίᾳ Ag. mox Ἀστάκῳ Smai. Tum ἐγίνετο Ag. εἰκάξ' ἀντί γε Lb.
20. οὕτω αὐγ. La. tum ἐκ τοῦ ἠριδ. LbMVa. (exc. nostra e Va silent.). Mox σπανιάζεται Vb.
21. ἀνθρώπων MVab; tum εἵνεκα Va.

δὲ ἄλλο ἤλεκτρον ἀναμεμιγμένος ἐστὶν ἀργύρῳ χρυσός. (7) Ἐν δὲ τῷ ἐν Ὀλυμπίᾳ ναῷ Νέρωνος ἀναθήματα[22] 8
τρεῖς μὲν ἐς κοτίνου φύλλα στέφανοι, τέταρτος δὲ ἐς δρυός ἐστι[23] μεμιμημένος. κεῖνται δὲ αὐτόθι καὶ ἀσπίδες χαλκαῖ πέντε καὶ εἴκοσι τοῖς ὁπλιτεύουσιν εἶναι φορήματα ἐς τὸν δρόμον. στῆλαι δὲ ἄλλαι τε ἑστήκασι καὶ ἡ πρὸς Ἀθη- 407
ναίους καὶ Ἀργείους τε[24] καὶ Μαντινέας ἔχουσα ὅρκον παρὰ Ἠλείων ἐς συμμαχίαν ἐτῶν ἑκατόν.

## CAPUT XIII.

De Pelopio in Alti — sacris Pelopis in illo — Pelopis ossibus narratio — Pelopis et Tantali sede in Asia — ara Iovis Olympii e cinere congesta et sacrificiis, quae in ea fiunt — ara e sanguine constructa.

Ἔστι δὲ ἐντὸς τῆς Ἄλτεως καὶ Πέλοπι[1] ἀποτετμημένον τέμενος· ἡρώων δὲ τῶν ἐν Ὀλυμπίᾳ τοσοῦτον προτετιμημένος ἐστὶν ὁ Πέλοψ ὑπὸ Ἠλείων, ὅσον[2] Ζεὺς θεῶν τῶν

quam argento permistum in metallis aurum. *Sed ad ea, unde huc excurrimus, revertamur.* (7) Sunt in Olympii fano, quas Nero donavit, coronae. Earum tres oleastri, quarta quercus frondem imitatur. Positi ibidem clypei sunt XXV aenei, cum quibus decurrunt, qui armati in curriculum descendunt. Erectae vero sunt et aliae pilae, et ea inter ceteras, qua continetur iuramentum, quo Elei cum Atheniensibus, Argivis et Mantinensibus centum annorum foedus et societatem firmarunt.

Cap. XIII. Intra Altin Pelopi quoque area consecrata est: Pelopion appellant. Prae ceteris enim heroibus tam colitur apud Eleos Pelops, quam Iupiter prae cunctis Dîs. Est igitur

22. ἀνάθημα Va; ἀναθύματα, η sup. υ, Vb. tum τρεῖς — στέφανοι CSmai.BLa; τρεῖς (M τρὶς) omisso στέφανοι PcAgMLb; τρίτος — στέφανος AXKFSmin. τρίτος — στέφανοι Vb, τρίτος — φύλα, omisso στέφανοι, Va. Tum δ' ἐς id.

23. ἐστιν Ag. Mox δὲ καὶ αὐτόθι Vb. tum ὁπλιτεῦσιν M. ὀπλιτεύσιν Va.

24. τε om. M.

Cap. XIII. 1. Πέλοπι ἀποτετμημένον B, probatus ab O. Muellero Annal. Gotting. 1828. nr. 204. πελόπιά (πελοπία LabVab) ποτε τετιμημένον AgPcMVab. Πελόπιον ποτὲ τετιμημένον Edd. ante B. τέμενος om. La.

2. ὅσων La. τῶν ἄλλων θεῶν MVa. Deinceps ἂν τῆς ἐσόδου — ὡς μεταξὺ bis habet La. ἐξόδον, ad marg. ἐσόδον M. Mox ἀναθύματα Vb.

ἄλλων. ἔστιν οὖν τοῦ ναοῦ τοῦ Διὸς κατὰ δεξιὰν τῆς
ἐσόδου πρὸς ἄνεμον Βορέαν τὸ Πελόπιον, ἀφεστηκὸς μὲν
τοῦ ναοῦ τοσοῦτον ὡς μεταξὺ καὶ ἀνδριάντας καὶ ἀνα-
θήματα ἄλλα ἀνακεῖσθαι, παρήκει δὲ ὡς ἐπὶ τὸν ὀπισθό-
δομον ἀπὸ μέσου[3] μάλιστα ἀρξάμενον τοῦ ναοῦ, καὶ λί-
θων τε θριγκῷ περιέχεται, καὶ δένδρα ἐντὸς πεφυκότα
2 καὶ ἀνδριάντες εἰσὶν ἀνακείμενοι. ἔσοδος δὲ ἐς αὐτὸ πρὸς
δυσμῶν ἐστιν ἡλίου. τοῦτο ἀπονεῖμαι[4] τῷ Πέλοπι Ἡρα-
κλῆς ὁ Ἀμφιτρύωνος λέγεται· τέταρτος γὰρ δὴ ἀπόγονος
καὶ οὗτος ἦν Πέλοπος. λέγεται δὲ καὶ ὡς ἔθυσεν ἐς τὸν
βόθρον τῷ Πέλοπι. (2) Θύουσι δὲ αὐτῷ καὶ νῦν ἔτι
οἱ κατὰ ἔτος τὰς ἀρχὰς ἔχοντες· τὸ δὲ ἱερεῖόν[5] ἐστι κριὸς
μέλας. ἀπὸ ταύτης οὐ γίνεται τῷ μάντει[6] μοῖρα τῆς θυ-
σίας, τράχηλον δὲ μόνον[7] δίδοσθαι τοῦ κριοῦ καθέστηκε
3 τῷ ὀνομαζομένῳ ξυλεῖ. ἔστι δὲ ὁ ξυλεὺς ἐκ[8] τῶν οἰκετῶν
τοῦ Διὸς, ἔργον δὲ αὐτῷ πρόσκειται τὰ ἐς τὰς θυσίας
ξύλα τεταγμένου[9] λήμματος καὶ πόλεσι παρέχειν καὶ ἀνδρὶ

ad dexteram, qua patet ad templum aditus, ab Aquilone, Pelopium, tanto spatio interiecto, ut in eo et statuae et alia ornamenta poni potuerint: porrigitur autem a media ad posticam templi partem, circumvallante maceria. Tota area et arboribus convestita et signis passim est conspicua. Ingressus ad eam est a Solis occasu. Eum *soli campum* dedicasse Pelopi Herculem Amphitryonis filium ferunt. Quartum enim a Pelope posteritatis gradum tenuit. Idem etiam Hercules Pelopi dicitur ad eam scrobem sacrum fecisse; (2) ad quam aetate etiam nostra annui magistratus nigro ariete faciunt. Ac de ea quidem victima vati portio nulla tribuitur: collum tantum, more maiorum, lignatori datur. Sic enim appellatur unus de Iovis famulatu, cui negotium mandatum est, ut certo pretio ligna ad sacrorum usum vel publice civitatibus vel privatim cuivis homini suppeditet.

3. μέσον MVa. Tum λίθω Va, ἀδριάντες M.

4. ἀπογεῖμαι Va. — Sqq. Πέλοπι — οὗτος ἦν om. La. πέλωπι Ag. tum ἀμφιτρίωνος MVaLb; ὁμφι-τρίωνος, ἀ inter ὁ et μ sup. vers. Vb. mox ἔθυσε ἐς Ag. ἔθυεν Lb.

5. ἱερὸν LbM [ει super ὸν M] ἱερὸν (sic Vb; „ ⸗ ειν) mox μέγας Ag.

6. μάντι Ag. tum λοῖρα MLb.

7. μόνον Sylb. FCSBPcAgMVab Lab; μόνου AXK. Mox τῷ om. Va. καθέστηκεν MVa.

8. εἷς τῶν C. mox πρόςκειται B ex em. S, quam probat O. Mueller Annal. Gotting. 1828. nr. 204. πρό-κειται AXKFCSPcAgMVabLab.

9. τεταγμένον λέμματα παρέ (fin. lin., χειν om.) Va. λήμματα LbAg mox ἀνδρὶ ἰδιώτῃ (ἰδότι Ag) AXK FSmin.BPcAgLab; ἀνδράσιν ἰδιώ-ταις CSmai.Va (at ι et η sup. vers.).

ἰδιώτῃ· τὰ δὲ λεύκης μόνης[10] ξύλα καὶ ἄλλου δένδρου
ἐστὶν οὐδενός. ὃς δ' ἂν ἢ αὐτῶν τῶν Ἠλείων ἢ ξένων
τοῦ θυομένου τῷ Πέλοπι ἱερείου φάγῃ τῶν κρεῶν, οὐκ
ἔστιν οἱ ἐσελθεῖν[11] παρὰ τὸν Δία. τὸ δὲ αὐτὸ καὶ ἐν τῇ
Περγάμῳ τῇ ὑπὲρ ποταμοῦ Καΐκου πεπόνθασιν οἱ τῷ Τη-
λέφῳ θύοντες· ἔστι γὰρ δὴ οὐδὲ τούτοις ἀναβῆναι πρὸ
λουτροῦ παρὰ τὸν Ἀσκληπιόν. (3) Λέγεται δὲ καὶ τοιόν- 4
δε[12] μηκυνομένου τοῦ πρὸς Ἰλίῳ πολέμου προαγορεῦσαι
αὐτοῖς τοὺς μάντεις ὡς αἱρήσουσιν οὐ πρότερον τὴν πό- 408
λιν, πρὶν ἂν τὰ Ἡρακλέους[13] τόξα καὶ ὀστοῦν ἐπαγάγων-
ται Πέλοπος. οὕτω δὴ μεταπέμψασθαι μὲν Φιλοκτήτην
φασὶν αὐτοὺς ἐς τὸ στρατόπεδον, ἀχθῆναι δὲ καὶ τῶν
ὀστῶν ὠμοπλάτην σφίσιν ἐκ Πίσης τῶν Πέλοπος. ὡς δὲ
οἴκαδε ἐκομίζοντο, ἀπόλλυται[14] περὶ Εὔβοιαν καὶ ἡ ναῦς
υπὸ τοῦ χειμῶνος ἡ τὸ ὀστοῦν φέρουσα τὸ Πέλοπος.
ἔτεσι δὲ ὕστερον πολλοῖς μετὰ ἅλωσιν Ἰλίου Δαμάρμενον 5

Sunt autem non ex alia arbore ligna ea, quam de alba populo. Quod si quis (sive Eleus, sive hospes fuerit) carnes ex ea Pelopis victima comederit, ei templum Iovis introire nefas est. Idem observatur ad Pergamum, quod supra Caicum est. Nam qui Telepho immolarunt, religio est illis ante in Aesculapii ascendere, quam corpus abluerint. (3) Sed quod ad Pelopem attinet, memoriae proditum est, quum Troianum bellum duceretur, monuisse vates non ante expugnari Ilium posse, quam Graeci Herculis sagittas et de Pelopis ossibus unum comportari curassent. Quare et Philocteten tunc in castra accersitum et Pisa scoptulum opertum Pelopis deportatum. Redeuntibus vero Graecis, ad Euboean navim eam, in quam Pelopis illud os fuerat impositum, naufragio periisse. Multis deinde annis post

10. μόνα ξ. Va. tum ἄλλου δένδρων CSmai.BMLbPcdAgVb; ἄλλων δένδρων AXKFSmin.Va. ἄλλου δένδρον, ου super ον, La, unde scripsimus ἄλλου δένδρου, coll. c. 14, 2. οὐδενός. ὃς Smai.B, ut correxit Porson. οὐδέν. ὃς Smin. οὐδέν. οἷος AXKFCPcLbAgMVab; οὐδέν. οἷς La. mox ἡ αὐτῶν Pd. τὰ αὐτῶν Ag. Post αὐτῶν e Va inserit τῶν S; abest a rell.

11. εἰςελθεῖν Va; mox αὐτῷ Vb. deinceps γῇ ὑπὲρ Ag. tum τοῦ ποταμοῦ Va.

12. τοῖον Edd. Codd. praeter La, qui τοιοῦτον. Scripsimus τοιόνδε, nam δὲ, quod PcAgVabLb post προαγορεῦσαι inserunt, a fine versus antecedentis ad hunc locum delapsum esse videtur. Tum μηκέτι LbPcAgMR; ad marg. μηκυνομένου R. κυνουμένου La.

13. ἡρακλέα Lb; τάξα M. mox ἐπάγωνται VbLa; tum πέλωπος Ag. Deinde ὠμοπλάτον La. πίσσης Va.

14. ἀπόλλυται Smai. B ex em. Sylb. ἀπόλλυνται AXKFCSmin. AgPcVabLab; ἀπόλληνται M. mox ὑπὸ SBPcAgVb(?), ut voluit Coraes. ἀπὸ AXKFCMVaLb.

ἁλιέα ἐξ Ἐρετρίας ἀφέντα δίκτυον ἐς θάλασσαν τὸ ὀστοῦν
ἑλκῦσαι,[15] θαυμάσαντα δὲ αὐτοῦ τὸ μέγεθος ἔχειν ἀπο-
κρύψαντα ὑπὸ τὴν ψάμμον. τέλος δὲ αὐτὸν ἀφικέσθαι
καὶ ἐς Δελφοὺς,[16] ὅτου τε ἀνδρὸς τὸ ὀστοῦν εἴη καὶ ὅ
6 τι χρηστέον αὐτῷ διδαχθῆναι δεησόμενον. καί πως κα-
τὰ πρόνοιαν τοῦ θεοῦ τηνικαῦτα παρὰ[17] Ἠλείων ἐπανόρ-
θωμα αἰτούντων νόσου λοιμώδους, ἀνεῖπεν[18] οὖν σφίσιν
ἡ Πυθία, τοῖς μὲν ἀνασώσασθαι Πέλοπος τὰ ὀστᾶ, Δα-
μαρμένῳ δὲ ἀποδοῦναι τὰ εὑρημένα αὐτῷ[19] Ἠλείοις. καί
οἱ ταῦτα ποιήσαντι ἄλλα τε ἀντέδοσαν[20] Ἠλεῖοι καὶ Δα-
μάρμενόν τε αὐτὸν καὶ ἀπογόνους τοὺς ἐκείνου φύλακας
σφᾶς εἶναι τοῦ ὀστοῦ. ἡ δὲ ὠμοπλάτη τοῦ Πέλοπος
ἠφάνιστο ἤδη κατ' ἐμὲ, ὅτι (ἐμοὶ δοκεῖν) ἐκέκρυπτο ἐπὶ
πολὺ κατὰ τοῦ βυθοῦ, καὶ ὁμοῦ τῷ χρόνῳ προσέκαμνεν
7 οὐχ ἥκιστα ὑπὸ τῆς θαλάσσης. (4) Πέλοπος δὲ καὶ Ταν-
τάλου τῆς παρ' ἡμῖν ἐνοικήσεως σημεῖα ἔτι καὶ ἐς τόδε
λείπεται, Ταντάλου μὲν λίμνη[21] τε ἀπ' αὐτοῦ καλουμένη

Ilium excisum Eretriensem piscatorem Demarmenum iacto everriculo e mari os extraxisse: miratum magnitudinem in arenis id *annotato loco* abdidisse. Venisse eundem Delphos scitatum, cuiusnam esset os et ad quem usum illud a se conservari oporteret. Tunc etiam fato quodam aderant quos Elei consultum miserant, quae foret depellendae pestilentiae ratio. Atque his quidem responsum est, ut Pelopis ossa requirerent: Demarmeno vero, ut, quae reperisset, Eleis restitueret. Hoc ille quum fecisset, et alia accepit ab Eleis munera, et ei, eiusque posteris custodia ossis demandata est. Scoptulum opertum Pelopis aetate mea iam evanuerat. Id eo accidisse opinor, quod, quum alte absconditum fuisset, tum vetustate tum aquae marinae illuvie extabuit. (4) Et in Graeciam quidem Tantalum et Pelopem coloniam deduxisse certa adhuc extant indicia, portus, qui Tan-

15. ἑλκῦσαι Smai. Vb; ἑλκύσαι edd. rell. Lab.

16. καὶ ἀδελφοὺς Ag. mox αὐτοῦ διδαχθ. Va.

17. πρεσβεία παρῆν Ἠλείων vult B, probante O. Muellero Annal. Gotting. 1828. nr. 204. παρὰ transposito F. legere vult: παρὰ τοῦ θεοῦ τηνικαῦτα Ἠλείων ἐπανόρθωμα αἰτούντων, et sic se reposuisse affirmat C. in notis; at non fecit. S. subaudit τινῶν, ut sit παρὰ Ἠλείων τινῶν αἰτούντων. ἀνώρθαμα, o sup. ω, M.

18. ἀνεῖ A. ἀνεῖλεν Camerar.

19. αὐτῷ CB ex em. K. αὐτῶν AXKFSLabPcAgMVab; αὐτὸν Sylb. Scripsimus αὐτῷ auctore S.

20. ἀντέδωσαν AgVb; in hoc o sup. ω. tum ἠλεῖον La. Mox ἀπὸ γένους τοὺς VaLb. σφᾶς om. La. tum δοκεῖ Va.

21. λίμνη — καλουμένη CSB ex em. Goldh. coll. 7, 24. et 8, 17.

*καὶ οὐκ ἀφανὴς τάφος, Πέλοπος δὲ ἐν Σιπύλῳ μὲν θρό-
νος ἐν κορυφῇ τοῦ ὄρους ἐστὶν ὑπὲρ τῆς Πλαστήνης*[22]
*μητρὸς τὸ ἱερὸν, διαβάντι δὲ Ἕρμον ποταμὸν Ἀφροδίτης
ἄγαλμα ἐν Τήμνῳ*[23] *πεποιημένον ἐκ μυρσίνης τεθηλυίας·
ἀναθεῖναι δὲ Πέλοπα αὐτὸ παρειλήφαμεν μνήμῃ προϊλα-
σκόμενόν τε τὴν θεὸν, καὶ γενέσθαι οἱ*[24] *τὸν γάμον τῆς
Ἱπποδαμείας αἰτούμενον.*
(5) *Ἔστι δὲ ὁ τοῦ Διὸς τοῦ Ὀλυμπίου βωμὸς ἴσον* 8
*μὲν μάλιστα τοῦ Πελοπίου τε καὶ τοῦ ἱεροῦ τῆς Ἥρας
ἀπέχων, προκείμενος μέντοι καὶ πρὸ ἀμφοτέρων. κατα-* 409
*σκευασθῆναι δὲ αὐτὸν οἱ μὲν ὑπὸ Ἡρακλέους τοῦ Ἰδαίου
λέγουσιν, οἱ δὲ ὑπὸ ἡρώων τῶν ἐπιχωρίων γενεαῖς δύο*[25]
*ὕστερον τοῦ Ἡρακλέους. πεποίηται δὲ ἱερείων τῶν θυο-
μένων τῷ Διῒ ἀπὸ τῆς τέφρας τῶν μηρῶν, καθάπερ γε
καὶ ἐν Περγάμῳ· τέφρας γὰρ*[26] *δή ἐστι καὶ τῇ Ἥρᾳ τῇ
Σαμίᾳ βωμὸς, οὐδέν τι ἐπιφανέστερος ἢ*[27] *ἐν τῇ χώρᾳ τῇ
Ἀττικῇ ἃς αὐτοσχεδίας Ἀθηναῖοι καλοῦσιν ἐσχάρας. τοῦ* 9
*βωμοῦ δὲ τοῦ ἐν Ὀλυμπίᾳ κρηπῖδος*[28] *μὲν τῆς πρώτης,*

tali dicitur, et eiusdem sepulcrum non obscurum. Pelopis in Sipyli montis vertice visitur solium, supra eum locum, ubi Plastenes matris fanum est. Iam vero ultra Hermum fluvium ad Temnum oppidum Veneris signum spectatur e virente a radice sua myrto: quod faciendum curasse Pelopem ferunt, quum ut deam coleret, tum vero ut Hippodamiae nuptiarum se compotem faceret. (5) Olympii quidem Iovis ara pari intervallo a Pelopio et Iunonis aede distat, ante utriusque frontem sita. Erectam alii tradiderunt ab Idaeo Hercule, alii ab indigenis heroibus, duabus ipsis aetatibus post Herculem. Congesta illa est e cinere collecto ex adustis victimarum femoribus. Talis et Pergami ara est, talis Samiae Iunonis, nihilo illa quidem ornatior, quam in Attica, quos Rudes appellant focos. Arae Olympicae ima crepido, quam **πρόθυσιν** appellant, ambitum peragit pedum cen-

*λιμὴν* (*λίμην* Lab) — *καλούμενος* AXKFPcAgMVabLab.

22. *Πλακιηνῆς* coni. S. a *Πλακίῃ*, urbe Hellespontia. *Πλαιξηνῆς* Porson. *πλάνης* Vb. Mostenes urbis nomen latere putat Goldh.; *Σιπυλήνης* e Strab. X, 469 (174). eruit Bosius a S. laudatus *πλαστάνης* La.

23. *λήμνῳ* MVa, (in M. *τ* sup. *λ*). Mox Loescher, Gedoyn, Goldh. C. vertunt quasi *μυρσίνης θηλείας* legissent; etiam S. offendit in *τεθηλυίας*

24. *οἱ* om. MVa.

25. *γενεαῖς δὲ ὕστ.* Va. mox *θειομένων* AgVa.

26. *μὲν γὰρ* AXKFCVb; *μὲν* om. SBMPcAgVaLab. tum *δὴ* om. Vb. *ἐστιν* AgMVb. Pro *Ἥρᾳ* VbLb. marg. R. habent *κράτῃ*.

27. supra *ἢ* est *ῆ* in M. *ἢ ἐν* Vb.

28. *κρηπίδος* Vb.

προθύσεως καλουμένης, πόδες πέντε καὶ εἴκοσι καὶ ἑκατόν ἐστι περίοδος, τοῦ δὲ ἐπὶ τῇ προθύσει[29] περίμετρος [ἑκάστου][30] πόδες δύο καὶ τριάκοντα· τὸ δὲ ὕψος τοῦ βωμοῦ τὸ σύμπαν ἐς δύο καὶ εἴκοσιν ἀνήκει πόδας. αὐτὰ μὲν δὴ τὰ ἱερεῖα ἐν μέρει τῷ κάτω, τῇ προθύσει, καθέστηκεν αὐτοῖς θύειν· τοὺς μηροὺς δὲ ἀναφέροντες ἐς[31] τοῦ
10 βωμοῦ τὸ ὑψηλέστατον καθαγίζουσιν ἐνταῦθα. ἀναβαθμοὶ δὲ ἐς μὲν τὴν πρόθυσιν[32] ἀνάγουσιν ἐξ ἑκατέρας τῆς πλευρᾶς λίθου πεποιημένοι· τὸ δὲ ἀπὸ τῆς προθύσεως ἐς τὸ ἄνω τοῦ βωμοῦ τέφρας παρέχεται ἀναβαθμούς.[33] ἄχρι μὲν δὴ τῆς προθύσεως ἔστιν ἀναβῆναι καὶ παρθένοις καὶ ὡσαύτως γυναιξὶν, ἐπειδὰν τῆς Ὀλυμπίας μὴ ἐξείργωνται· ἀπὸ τούτου δὲ ἐς τὸ[34] ἀνωτάτω τοῦ βωμοῦ μόνοις ἔστιν ἀνδράσιν ἀνελθεῖν. θύεται δὲ τῷ Διῒ καὶ ἄνευ τῆς πανηγύρεως ὑπό τε ἰδιωτῶν καὶ ἀνὰ πᾶσαν ἡμέραν
11 ὑπὸ Ἠλείων. κατ' ἔτος δὲ ἕκαστον φυλάξαντες οἱ μάντεις

tum et amplius quinque et viginti: graduum singulorum supra imam istam crepidinem ambitus pedes explet binos ac tricenos. Universa arae altitudo pedes conficit duos prope et viginti. Ducuntur hostiae ad imae crepidinis stationem: ibi eas patrio more mactant: femora in summa ara adolent. Et ad stationem quidem ab utroque latere per lapideos, ad arae altissimam sedem per cineritios gradus scanditur. Et ad stationem quidem usque tam virgines, quam mulieres, quum in Olympiam venire nulla prohibet religio, possunt ascendere; longius progredi solis viris fas est. Sacrificatur autem Iovi etiam extra solemnem nundinarum celebritatem tam a privatis hominibus quam quotidie ab Eleis. Stato autem die quotannis, Februarii mensis nono supra

29. προθέσει et bis προθέσεως M; bis προθέσεως Va; προθέσει infra Vb.

30. ἑκάστου sc. μέρους F. Deleri vel eius loco βωμοῦ poni voluit Goldh. unde S. uncis inclusit. θυσιαστηρίου coni. C, „faute de mieux." ἐσχάτου Buttmannus. ἐστί που Bosius ap. S.

31. ἐς om. AXKPcAgMVabLb; habet La; ex em. Sylb. recepere FCSB. tum ὑψηλέστατον BPcAg VaMRLab (η ambig. in La); ὑψηλότατον Edd. rell. marg. RVb.

32. πρόθυσιν ἄγ. CSB ex em. Sylb. προθυσίαν ἄγ. AXKFPcAg MVabLab; lectio orta ex πρόθυσῑ ἀνάγουσιν, quod recepimus.

33. ἀναβασμοὺς LabPcAg. „recipi poterat ἀναβασμόύς coll. 5, 21, 2, l. 3.; sed ἀναβαθμοὺς est 7, 18, 12, l. 1." B. καὶ ἀναβαθμ. VaLa. Mox μὲν δὴ SBPcAgMVaLab; μέν τοι AXKFCVb.

34. ἐς τῷ Vb., corr. in τὸ. — ἀπὸ τούτου — θύεται om. La.

τὴν ἐνάτην[35] ἐπὶ δέκα τοῦ Ἐλαφίου μηνὸς κομίζουσιν ἐκ τοῦ Πρυτανείου[36] τὴν τέφραν, φυράσαντες δὲ τῷ ὕδατι 410
τοῦ Ἀλφειοῦ κονιῶσιν οὕτω τὸν βωμόν. ὑπὸ δὲ ἄλλου τὴν τέφραν ὕδατος ποιηθῆναι πηλὸν[37] οὐ μή ποτε ἐγγένηται· καὶ τοῦδε εἵνεκα ὁ Ἀλφειὸς νενόμισται τῷ Ὀλυμπίῳ Διῒ ποταμῶν[38] δὴ μάλιστα εἶναι φίλος. (6) Ἔστι δὲ καὶ[39] ἐν Διδύμοις τῶν Μιλησίων βωμὸς, ἐποιήθη δὲ ὑπὸ Ἡρακλέους τοῦ Θηβαίου, καθὰ οἱ Μιλήσιοι λέγουσιν, ἀπὸ τῶν ἱερείων τοῦ αἵματος· ἐς δὲ τὰ ὕστερα τὸ αἷμα τῶν θυμάτων οὐκ[40] ἐς ὑπέρογκον ηὔξηκεν αὐτὸν μέγεθος.

decimum, aruspices cinerem ex Prytaneo deportant: eoque aqua ex Alpheo amne diluto aram Iovis oblinunt. Religione sancitum est cinerem sola Alphei aqua dilui, atque ex eo tantum luto arae tectorium superinduci. Eam ob rem Alpheus fluviorum omnium Iovi maxime amicus creditur. (6) Est et Didymis (Milesiorum ea civitas est) ara, quam a Thebano Hercule *luto subacto* victimarum sanguine exstructam Milesii tradunt. Non fuit ea tamen victimarum insequentibus temporibus copia, ut ara magnopere potuerit eminere.

35. ἐννάτην SMVa. mox ἐλαφηβολιῶνος marg. M. δέκα τοῦ μηνὸς τοῦ ἐλαφηβολιῶνος μηνὸς Va; in marg. ὀκτοβρίου μηνός.

36. πρυτανίου AgMVabLab. mox ἀλφίου M, (silent exc. nostra); κωνιῶσιν Vb.

37. πηλὸν om. Va; in M. παιλὸν correctum est in πηλόν. Mox τοῦδε BPcAgLab; τούτου edd. rell. MVab; ἕνεκα Vb.

38. ποτ. δὲ μάλιστα Ag. δὴ μάλ. La. δὴ om. rell.

39. καὶ om. Va. ἱερείων CSmai. B ex em. Sylb. ἱερῶν AXKFSmin. PcAgLab. Sq. δὲ sup. vers. habet La.

40. οὐκ delendum censet Schneid. unde Smin. uncis inclusit. mox ηὔξηκεν SBMPcVaLab; ηὔξησεν AXKFCAgVb. tum αὐτὸν SB ex em. Sylb. αὐτῶν AXKFCPcAgLabM Vab. In notis C quoque αὐτὸν adoptat.

# CAPUT XIV.

De Iove *Ἀπομυίῳ* — cur Olympica sacra albae duntaxat populi lignis adoleantur — de arboribus, quas varii fluvii potissimum alunt — reliquis Olympiae aris et diis, quibus sacra ibi fiunt — ara ignotorum deorum — *Καιροῦ*, Iovis filii — Telluris eiusque oraculo, aliisque.

Ὁ δὲ ἐν Ὀλυμπίᾳ βωμὸς παρέχεται καὶ ἄλλο τοιόνδε ἐς θαῦμα· οἱ γὰρ ἰκτῖνες[1] πεφυκότες ἁρπάζειν μάλιστα ὀρνίθων ἀδικοῦσιν οὐδὲν ἐν Ὀλυμπίᾳ τοὺς θύοντας. ἢν δὲ ἁρπάσῃ ποτὲ ἰκτῖνος ἤτοι σπλάγχνα ἢ τῶν κρεῶν, νενόμισται τῷ θύοντι οὐκ αἴσιον[2] εἶναι τὸ σημεῖον. (2) Φασὶ δὲ Ἡρακλεῖ τῷ Ἀλκμήνης θύοντι ἐν Ὀλυμπίᾳ δι' ὄχλου μάλιστα γενέσθαι τὰς μυίας· ἐξευρόντα οὖν αὐτὸν ἢ καὶ ὑπ' ἄλλου διδαχθέντα Ἀπομυίῳ θῦσαι Διΐ, καὶ οὕτως ἀποτραπῆναι τὰς μυίας πέραν τοῦ Ἀλφειοῦ. λέγονται δὲ κατὰ ταὐτὰ καὶ Ἠλεῖοι θύειν τῷ Διῒ τῷ Ἀπομυίῳ,[3] ἐξελαύνοντι
2 τῆς Ἠλείας Ὀλυμπίας[4] τὰς μυίας. (3) Τῆς δὲ λεύκης
411 μόνης[5] τοῖς ξύλοις ἐς τοῦ Διὸς τὰς θυσίας, καὶ ἀπ' οὐ-

Cap. XIV. Sed quod ad Olympicam aram attinet, illud etiam magno miraculo ducitur, quod milvii, etsi avium hoc genus insigni est rapacitate, sacra tamen in Olympia facientibus infensi non sunt. Quod si forte exta vel carnium partem ullam appetierint, dira portendi immolanti creditur. (2) Aiunt etiam Herculi Alcmenes filio, quum Olympiae sacrificaret, maximam muscas exhibuisse molestiam: eum itaque vel proprio inventu vel monitu alieno sacra fecisse Iovi Apomyio, atque ita muscas trans Alpheum fuisse profligatas. Inde servatum ab Eleis, ut ad abigendas ex Olympia muscas idem sacrum usurparetur. (3) Ex alba vero duntaxat populo, neque ex alia arbore, ad

Cap. XIV. 1. *ἰκτίνες* M. (*ἰκτέ-νες* sec. exc. nostra.) VabLab; Paulo post *ἰκτῖνος* MVa om. *ἰκτίνος* Vb Lab.

2. *οὐκ αἴσιον — Ἀλκμ. θύοντι* LBM om. Tum *φασὶν* Ag. Mox *ὀλυμπίαδι ὄχλου* La. *δι' ὄχλον* Va; *τιμὰς*, eoque expuncto *μυίας*, Vb. *κατὰ ταῦτα* Lab.

3. *τῷ Διῒ τῷ Ἀπομυίῳ* Smai. Va. *τῷ Ἀπομυίῳ Διῒ* Edd. rell. PcAgM Vb. tum *ἐξελαύνοντος* AgVbLb; *ἐξελαύνοντας*, o sup. α, Va. *ἐξελαύνοντες* La.

4. *Ὀλυμπίοις*, subaudito *ἐν*, coni. K. *Ὀλυμπιᾶσι* Porson. Alterutrum, sive *Ἠλείας* sive *Ὀλυμπίας*, tollendum putat F. *Ἠλείας* tanquam spurium asteriscis notat C.

28. κάπρῳ MAgLab; mox τομίῳ LabMAgPc. ἐπὶ κύπρῳ κατομνῆσθαι τομίως Va; tum ἐς τῶν, sup. ὦν, Vb. ἀποκριβῶσθαι Vb.

29. πύλους M. mox ποιεῖσθαι FC SBPcAgMVabLab; πεποιῆσθαι A XK.

30. ἐς τὸ δοκ. Va. mox τε καὶ BPcAgLa, ut voluit Valck. probante S. δὲ καὶ AXKFCSLbMVab. καὶ ante ταῦτα om. Va.

31. ὅτι M. σφισιν AgM. tum τα τῶν M.

32. τοῖς τε Vb; tum ἀρχ. ἐπὶ ἱερεῖα ἦν καθεστηκὸς La; ἀρχ. ἔτι ἱερεῖα ἦν καθεστηκότος PcAgRLb MVab; ad marg. ἐπεὶ ἱερεῖα ἢ καθεστηκὸς κὼς R; lectio codicis M dubia est. ἦν καστηκόθες ἐφ᾽ ᾧ A. Mox μὴ δὲ Vb, et οὐχήκιστα M, ut solent.

11 λοῖ δὲ οὐχ ἥκιστα καὶ Ὅμηρος· τὸν γοῦν κάπρον καθ' ὅτου τῶν τομίων Ἀγαμέμνων ἐπώμοσεν ἦ μὴν[33] εἶναι τὴν Βρισηΐδα ἑαυτοῦ τῆς εὐνῆς ἀπείρατον, τοῦτον τὸν κάπρον ἀφιέμενον ὑπὸ τοῦ κήρυκος ἐποίησεν ἐς θάλασσαν·

442 Ἦ, καὶ ἀπὸ σφάραγον[34] κάπρου τάμε νηλέϊ χαλκῷ.
Τὸν μὲν Ταλθύβιος πολιῆς ἁλὸς ἐς μέγα λαῖτμα
Ῥῖψ' ἐπιδινήσας, βόσιν ἰχθύσιν.

οὕτω μὲν τὸ ἀρχαῖον τὰ τοιαῦτα ἐνόμιζον· ἔστι δὲ πρὸ τῶν ποδῶν τοῦ Ὁρκίου πινάκιον χαλκοῦν. ἐπιγέγραπται δὲ ἐλεγεῖα[35] ἐπ' αὐτοῦ, δεῖμα ἐθέλοντα τοῖς ἐπιορκοῦσι παριστάναι. τοσαῦτα ἐντὸς τῆς Ἄλτεως ἀγάλματα εἶναι Διὸς ἀνηριθμησάμεθα ἐς τὸ ἀκριβέστατον. (8) Τὸ ἀνάθημα[36] γὰρ τὸ πρὸς τῷ μεγάλῳ ναῷ ὑπὸ ἀνδρὸς Κορινθίου τεθὲν, Κορινθίων δὲ οὐ τῶν[37] ἀρχαίων ἀλλ' οἳ παρὰ βασιλέως ἔχουσιν εἰληφότες τὴν πόλιν, τοῦτο τὸ ἀνάθημα Ἀλέξανδρός ἐστιν ὁ Φιλίππου Διῒ εἰκασμένος δῆθεν.

rus testatur, quum exsectum illum suem, super quo Agamemnon iusiurandum concepit, Briseidem se non attigisse, in mare a *Talthybio* fetiali abiectum dixit:

Hoc ait, atque suis praeduro guttura ferro
Dissecuit; quem Talthybius contorsit in undas
Piscibus aequoreis escam.

Atque hoc quidem prisci fuit ritus institutum. Ante Horcii Iovis pedes aenea tabula est, in qua incisi elegi sunt ad peierantium terrorem compositi. Enumeravimus quam accuratissime, quaecunque Iovi intra Altin signa posita sunt. (3) Nam quod prope maximum templum Corinthius quidam dedicavit, (non de priscis ille quidem Corinthiis, sed quos Caesar deduxit coloniam) is est Alexander Philippi filius, Iovis ornatu.

33. ἦ μιν Va; ἡμῖν La. βρησηΐδα AgMVb. Il. XIX. 266. ἀπείρατο Va.

34. σφαράγου κάπρου AXKPc. σφαράγου κάπρου FCMAgVbLab. σφαλάγου κάπρου Va. σφάραγον κάπρου SB volente Cor. Mox νολεϊ La; νηλεεῖ M (νήλει sec. exc. nostra). τέμνε νηλέη Va; tum πολυῆς Vb. mox ῥῖψ' B; ῥίψ' cdd. rell. Codd.

35. ἐλεγεῖα om. La. ὑπ' αὐτοῦ MVa. ἐθέλοντα Lab; θέλοντα rell. Post παριστάναι novum caput incipit B. παριστᾶναι M.

36. ἀνάθυμα Vb; tum τῷ πρὸς τῷ Ag.

37. οὗ τῶς (sic) ἀχαίων — τὸν πόλιν La.

# CAPUT XXV.

Alia praeter Iovis signa recensentur, signa chori puerorum a Messeniis naufragis Olympiae posita — signa puerorum ab Agrigentinis in muro Altis posita — de populis, qui Siciliam incolunt — binis Herculis signis — signis eorum, qui ad certamen cum Hectore ineundum sorte ducti sunt — signo Hereulis de cingulo cum Amazone certantis — signo Herculis a Thasiis posito.

Ὁπόσα δὲ ἀλλοῖα καὶ οὐ μίμησίς ἐστι Διὸς, ἐπιμνησόμεθα καὶ τούτων. εἰκόνας δὲ οὐ τιμῇ τῇ πρὸς τὸ θεῖον, τῇ δὲ ἐς αὐτοὺς[1] χάριτι ἀνατεθείσας τοὺς ἀνθρώπους,
λόγῳ σφᾶς τῷ ἐς τοὺς ἀθλητὰς ἀναμίξομεν. Μεσσηνίους 2
τοὺς ἐπὶ τῷ πορθμῷ κατὰ ἔθος[2] δή τι ἀρχαῖον [κατ' ἔτος] πέμποντας ἐς Ῥήγιον χορὸν παίδων πέντε ἀριθμὸν καὶ τριάκοντα καὶ διδάσκαλόν τε ὁμοῦ τῷ χορῷ καὶ ἄνδρα αὐλητὴν ἐς ἑορτήν τινα ἐπιχώριον Ῥηγίνων,[3] κατέλαβεν αὐτούς ποτε συμφορὰ, μηδένα ὀπίσω τῶν ἀποσταλέντων σφίσιν ἀποσωθῆναι, ἀλλὰ ἡ ναῦς ἡ ἄγουσα τοὺς παῖδας ἠφανίσθη σὺν αὐτοῖς κατὰ τοῦ[4] βυθοῦ. ἔστι γὰρ δὴ ἡ κατὰ τοῦτον θάλασσα τὸν πορθμὸν θαλάσσης χειμεριω-
τάτη πάσης. οἵ τε γὰρ ἄνεμοι ταράσσουσιν αὐτὴν ἀμ- 3

Cap. XXV. Iam vero et eas persequemur imagines, quae Iovis non sunt simulacra. Nam quae non religionis causa, sed ad homines honestandos positae sunt statuae, eas recensebimus in athletarum commemoratione. Quum Mamertini freti accolae ad festos ludorum dies, quos Rhegini solenni ritu agitabant, pueros triginta quinque, cumque his chori magistrum et tibicinem misissent, nave fracta, ad unum omnes periere. Est enim fretum illud foedissimis tempestatibus infame: siquidem venti e diversa superi inferique maris regione (quae maria

Cap. XXV. 1. δὲ ἑαυτοὺς Pc. δὲ ἐς αὐτοῶ Va; mox τοὺς ἀνθρώποις La; τοὺς ἀνθρώπους BPcAg; τοῖς ἀνθρώποις edd. rell. MVabLb; tum τὸ ἐς VbLab.

2. ἔτος PcAgLb. mox δέ τι Vb. seq. κατ' ἔτος om. MPcAgLbVa cum Amasaeo, unde uncis inclusit S. κατὰ ἔτους La. χωρὸν MVb, χορῶν Va.

3. τινα ἐπιχώριον Ῥηγίνων (ῥηγίων M. sec. exc. nostra) BPcAgM VaLab; τινα τῶν Ῥηγ. ἐπιχ. Edd. rell. Vb. Sq. ποτε om. La.

4. τοῦ om. Va. Mox χειμ. πάσσης Vb. τὸν ante πορθμὸν om. Va.

φοτέρωθεν τὸ κῦμα ἐπάγοντες ἐκ τοῦ Ἀδρίου καὶ ἐξ ἑτέρου πελάγους, ὃ καλεῖται Τυρσηνόν· ἤν[5] τε καὶ ἀνέμων ἀπῇ πνεύματα, ὁ δὲ καὶ τηνικαῦτα ὁ πορθμὸς κίνησιν βιαιοτάτην[6] αὐτὸς ἐξ αὑτοῦ καὶ ἰσχυρὰς παρέχεται παλιῤῥοίας· θηρία τε τοσαῦτα ἐς αὐτὸν τὰ ἀθροιζόμενά ἐστιν, ὡς καὶ τὸν ἀέρα τὸν ὑπὲρ τῆς θαλάσσης ταύτης ἀναπίμπλασθαι[7] τῶν θηρίων τῆς ὀσμῆς, ὡς σωτηρίας γε ἐκ τοῦ πορθμοῦ μηδὲ ἐλπίδος τι ὑπολείπεσθαι ναυαγῷ[8].
443 εἰ δὲ ἐνταῦθα συνέπεσεν Ὀδυσσεῖ διαφθαρῆναι τὴν ναῦν,
ἄλλως μὲν οὐκ ἄν τις πείθοιτο ἐκνήξασθαι ζῶντα ἐς τὴν
Ἰταλίαν αὐτόν.[9] τὸ δὲ ἐκ τῶν θεῶν εὐμενὲς ἐπὶ παντὶ ἐργά-
4 ζεται ῥαστώνην. τότε δὲ ἐπὶ τῇ ἀπωλείᾳ τῶν παίδων οἱ
Μεσσήνιοι πένθος ἦγον, καὶ ἄλλα τέ σφισιν ἐς τιμὴν αὐτῶν ἐξευρέθη καὶ εἰκόνας ἐς Ὀλυμπίαν ἀνέθεσαν χαλκᾶς, σὺν δὲ αὐτοῖς τὸν διδάσκαλον τοῦ χοροῦ[10] καὶ τὸν αὐλητήν. τὸ μὲν δὴ ἐπίγραμμα ἐδήλου τὸ ἀρχαῖον ἀναθή-

Adriacum et Tyrrhenum vocant) spirantes, ab alto undas cient, et procellis infestissimas reddunt. Quin et quum venti posuere, ea est influentis et refluentis pelagi concitatio, tam gravis belluarum magna copia innatantium odor, ut naufragis nulla salutis reliqua fiat spes. Quod si navem hoc in freto Ulysses fregisset, non ille quidem in Italiam incolumis enatasset. Sed nimirum deorum lenitas in omnibus infortuniis malorum aliquam allevationem affert. Mamertini istum puerorum interitum luxere, et quum alios illis honores habuere, tum statuam ex aere suam singulis posuere, cumque iis una chori magistro et tibicini. Vetus inscriptio donum esse Mamertinorum indicat freti

5. ἦν τε M. ἢν τε Vb. mox τὸ νικ αὐτα πορθμὸς La.

6. βιαιωτάτην Ag. tum ἐξ αὑτοῦ CSBPcAg. ἐξ αὐτοῦ AXKF. παλιῤῥοίας M. παλλιῤῥίας, omisso παρέχεται, Vb.

7. ἀναπίμπλασθαι FCSBPcAgM VabLab [in Lb μ sup. vers.]; ἀναπίπλασθαι AXK. ὀρμῆς MVb; litera quaedam ambigua, fortasse σ, sup. ρ in Vb.

8. ναυαγῷ Smai. Idem coniecit Lobeck. ad Phryn. p. 519. ναυαγοίῳ La; ναυαγίῳ Edd. Codd. rell. Mox magis placet συνέπεσεν Ὀδυσσεῖ. Tum πείθειτο omisso sq. ἐς La. Mox συνέπεσεν Ὀδυσσεῖ scripsimus e coni. συνέπεσεν καὶ Ὀδυσσεῖ Edd. Codd.

9. αὐτῷ MPcAgVaLb. τὶ δὲ ἐκ La. mox τῇ τότε ἐπὶ ἀπωλείᾳ AXK; τότε δὲ ἐπὶ τῇ ἀπ. FCSBPcAgM VabLab. (τότε δὲ καὶ ἐπὶ τῇ ἀπωλείᾳ M. sec. exc. nostra). Mox ἐς τὴν Ὀλ. Va.

10. χορίου M. αὐλητὸν La. mox ἀναθῆμα (sic) Lb.

ματα εἶναι τῶν ἐν πορθμῷ[11] Μεσσηνίων· χρόνῳ δὲ ὕστερον
Ἱππίας ὁ λεγόμενος ὑπὸ Ἑλλήνων γενέσθαι σοφὸς τὰ ἐλεγεῖα
ἐπ' αὐτοῖς ἐποίησεν. ἔργα δέ εἰσιν Ἠλείου Κάλλωνος αἱ
εἰκόνες. (2) Ἔστι δὲ κατὰ[12] τὴν ἄκραν ἐν Σικελίᾳ τὴν 5
τετραμμένην ἐπὶ Λιβύης καὶ Νότου, καλουμένην δὲ Πά-
χυνον, Μοτύη πόλις· οἰκοῦσι δὲ Λίβυες[13] ἐπ' αὐτῇ καὶ
Φοίνικες. τούτοις τοῖς ἐν Μοτύῃ βαρβάροις Ἀκραγαντῖνοι
καταστάντες ἐς πόλεμον[14] καὶ λείαν τε καὶ λάφυρα ἀπ'[15]
αὐτῶν λαβόντες ἀνέθεσαν τοὺς παῖδας ἐς Ὀλυμπίαν τοὺς
χαλκοῦς, προτείνοντάς τε τὰς δεξιὰς, καὶ εἰκασμένους εὐ-
χομένοις τῷ θεῷ· κεῖνται δὲ ἐπὶ τοῦ τείχους οὗτοι τῆς
Ἄλτεως· Καλάμιδος δὲ εἶναι σφᾶς ἔργα[16] ἐγώ τε εἴκαζον,
καὶ ἐς αὐτοὺς κατὰ τὰ αὐτὰ εἶχεν ὁ λόγος. (3) Σικελίαν 6
δὲ ἔθνη τοσάδε οἰκεῖ, Σικανοί τε καὶ Σικελοὶ καὶ Φρύγες,
οἱ μὲν ἐξ[17] Ἰταλίας διαβεβηκότες ἐς αὐτὴν, Φρύγες δὲ

accolarum. Interiecto dein tempore, Hippias, qui inter Graecos sapientiae laude claruit, elegis titulos earum statuarum fecit. Sunt illae quidem Callonis Elei opus. (2) Est ad Pachynum Siciliae promontorium, quod in Africam et ad Austros conversum est, Motye urbs; quam Afri Poenis permisti tenent. Ea civitate bello subacta, Agrigentini de manubiis puerorum aeneas posuere statuas, dexteras tendentium, et vota se Iovi nuncupare significantium. Adhaerent statuae illae Altis muris: Calamidis opus esse, et ipse suspicor, et hominum sermone vulgatum est. (3) Siciliam quidem gentes hae propemodum incolunt, Sicani, Siculi, Phryges: et illi quidem ex Italia,

11. ἐν τῷ πορθμῷ Smai. ἐκ πορθμῷ Va.

12. καὶ τὴν Ag. λυβίης κ. νώτου, o sup. ω, Vb. καὶ νότου bis habet La. Λιλύβαιον pro Πάχυνον scribendum esse recte vidit S, coll. Diod. Sic. XIII, 54. τὴν ἄκραν τὴν ἀπέναντι τῆς Λιβύης, καλουμένην Λιλύβαιον.

13. λίβειες Ag. tum ἐν αὐτῇ Ag, B e coni. S. ἐπ' αὐτῇ AXKFCS PcMVabLab. Mox ἀκραγαντίνοι Vb, ἀκρατῖνοι M, in marg. ἀκραγαντῖνοι. tum κατεστάντες La.

14. ἐς πόλεμον CB; ἐπολέμουν AXKFSPcAgLabVabM. καὶ λαν τε La.

15. ἐπ' αὐτῶν MVb. mox τοὺς χαλκοῦς — εἰκασμένους MLb om. τε τὰς La om. εὐχομένοις om. Ag; εὐχ. ἐν τῷ θεῷ M; εὐχομένους Vb Lab. Deinceps τοῦ τείχους BPcAg La; τοῦ om. edd. rell. LbMVab. Articulus an huic loco conveniat, dubitare possis propter §. 4. ἐπὶ δὲ τοῦ αὐτοῦ τείχους. Nonne ἐπί του τείχους?

16. ἔργον Va (o ambig.) mox καὶ ὁ ἐς αὐτοὺς — εἶχε λόγος AXKF; καὶ ἐς α. — εἶχεν ὁ λόγος CSBPcd AgMVabLab. κατὰ αὐτὰ MVa.

17. μὲν δὲ ἰταλ. M, μὲν δὴ ἰταλ. Va. διαβεβληκότες Vb. τοῦ σκαμανδρος — στήλῳ ἀφίκ. La.

ἀπὸ τοῦ Σκαμάνδρου ποταμοῦ καὶ χώρας τῆς Τρῳάδος. οἱ δὲ Φοίνικες καὶ Λίβυες στόλῳ ἀφίκοντο ἐς τὴν νῆσον κοινῷ, καὶ ἄποικοι Καρχηδονίων[18] εἰσί. τοσαῦτα μὲν ἐν Σικελίᾳ ἔθνη βάρβαρα· Ἑλλήνων δὲ Δωριεῖς τε ἔχουσιν αὐτὴν καὶ Ἴωνες, καὶ τοῦ Φωκικοῦ καὶ τοῦ Ἀττικοῦ γένους
444 7 ἑκατέρου μοῖρα οὐ πολλή. (4) Ἐπὶ δὲ τοῦ αὐτοῦ τείχους[19] τά τε Ἀκραγαντίνων ἀναθήματα καὶ Ἡρακλέους δύο εἰσὶν ἀνδριάντες γυμνοί, παῖδες ἡλικίαν. τὸν δὲ ἐν Νεμέᾳ τοξεύοντα[20] ἔοικε λέοντα, τοῦτον μὲν δὴ τόν τε Ἡρακλέα καὶ ὁμοῦ τῷ Ἡρακλεῖ τὸν λέοντα Ταραντῖνος ἀνέθηκεν Ἱπποτίων,[21] Νικοδάμου δέ ἐστι Μαιναλίου τέχνη· τὸ δὲ ἄγαλμα τὸ ἕτερον Ἀναξίππου μέν ἐστιν ἀνάθημα Μενδαίου,[22] μετεκομίσθη δὲ ἐνταῦθα ὑπὸ Ἠλείων· τὰ[23] πρὸ τούτου δὲ ἔκειτο ἐπὶ τῆς ὁδοῦ τῷ πέρατι, ᾗ ἄγει μὲν
8 ἐξ Ἤλιδος ἐς Ὀλυμπίαν, καλεῖται δὲ ἱερά. (5) Ἔστι δὲ

Phryges vero a Scamandro et Troia transmisere. At Libyes et Poenos una et eadem classe in coloniam deduxere Carthaginienses. Atque hi quidem e barbaris gentibus Siciliae inquilini. E Graecis vero Dorienses, et Iones, Phocici etiam et Attici nominis pars non utique magna. (4) In eodem Altis muro praeter Agrigentinorum dona inclusa sunt et Herculis signa duo nuda, aetate puerili: unus idem ad eius imaginem expressus, qui sagittis in Nemea leonem confecit. Hunc cum leone dicavit Tarentinus Hippotion. Nicodami alterum opus est; alterum vero Anaxippi Mindesii dedicatio fuit. In hunc locum ab Eleis transportatum est, quum ante positum esset in fine eius viae, quae in Olympiam ex Elide ducit, et Sacra dicitur via. (5) De-

18. χαλκηδονίων Pc. tum εἰσὶν Ag. τοσαῦτα μὲν ἐν σι. bis habet La. ἔθνος ἔθνη βάρβ. id. τοῦ ante Ἀττικοῦ om. Lb.

19. τεί τά τε Ag. ἀκραγαντίον La.

20. τοξεύοντα CS*PcdAgMVab Lab; τοξεύοντι AXKFB. ὡς ἔοικε C e coni. F. ἔοικε — Ἡρακλεῖ τὸν λέοντα om. Ag. γυμνοί, ὁ μὲν παιδὸς ἡλικίᾳ, ὁ δὲ τὸν ἐν Νεμέᾳ τοξεύοντι ἔοικε λέοντα corr. Goldh. Fort. ita scribendum: δύο εἰσὶν ἀνδριάντες, ὁ μὲν γυμνός, παῖς ἡλικίαν, τὸν δὲ τὸν ἐν Νεμ. τοξεύοντα. Cor. coni. τὸν μὲν τὸν ἐν Νεμ.

21. ἱπποτίνων La; ἱππωτίων, ο sup. ω priori, Vb; ὁ ἱπποτίων Va. tum Μαιναλίου τέχνη Smai. B. Μαιναλίου ἡ τέχνη C, qui tamen et ipse voluit Μαιναλίου τέχνη, sine ἡ; v. eius not. μάλιστα ἡ τέχνη AXKF Smin. Vb. μάλιστα οὐ τέχνη PcdAg MVaLb; μάλιστα ἡ τύχη La.

22. Μενδαίου CSB ex em. Sylb. Μινδαίου AXKFLbMVab; μυνδαίου PcAgLa.

23. τὰ om. AXKPcVb; est in FC SBMAgVaLab. εἴκετο, ἐ sup. εἴ et ει sup. ε, M. mox κοινῷ τῶν ἀχαιῶν La.

καὶ ἀναθήματα ἐν κοινῷ τοῦ Ἀχαιῶν ἔθνους, ὅσοι προ-
καλεσαμένου τοῦ Ἕκτορος ἐς μονομαχίαν ἄνδρα Ἕλληνα
τὸν κλῆρον ἐπὶ τῷ ἀγῶνι ὑπέμειναν. οὗτοι μὲν δὴ ἑστή-
κασι [24] τοῦ ναοῦ τοῦ μεγάλου πλησίον, δόρασι καὶ ἀσπί-
σιν ὡπλισμένοι· ἀπαντικρὺ δὲ ἐπὶ ἑτέρου βάθρου πεποίη-
ται Νέστωρ τὸν ἑκάστου κλῆρον ἐσβεβληκὼς [25] ἐς τὴν κυ-
νῆν. τῶν δὲ ἐπὶ τῷ Ἕκτορι κληρουμένων ἀριθμὸν ὄν-
των [26] ὀκτὼ (τὸν γὰρ ἔνατον αὐτῶν, τὴν τοῦ Ὀδυσσέως
εἰκόνα, Νέρωνα κομίσαι λέγουσιν ἐς Ῥώμην) τῶν δὲ ὀκτὼ
τούτων ἐπὶ μόνῳ τῷ ἀγάλματι Ἀγαμέμνονος [27] τὸ ὄνομά 9
ἐστι γεγραμμένον· γέγραπται δὲ καὶ τοῦτο ἐπὶ τὰ λαιὰ ἐκ
δεξιῶν. ὅτου δὲ ὁ ἀλεκτρυὼν ἐστιν ἐπίθημα τῇ ἀσπίδι,
Ἰδομενεύς ἐστιν ὁ ἀπόγονος Μίνω· τῷ δὲ Ἰδομενεῖ γένος
ἀπὸ Ἡλίου [28] τοῦ πατρὸς Πασιφάης, Ἡλίου δὲ ἱερόν
φασιν [29] εἶναι τὸν ὄρνιθα καὶ ἀγγέλλειν ἀνιέναι μέλλοντος 10
τοῦ ἡλίου. γέγραπται δὲ καὶ ἐπίγραμμα ἐπὶ τῷ βάθρῳ·

dicarunt vero communi impensa Achaici concilii populi eorum signa, qui ex provocatione cum Hectore, sorte ducti, erant congressuri: atque hi quidem hastis et clypeis armati prope magnum templum stant. E regione insistit basi alteri Nestor, coniectis in galeam sortibus. Et sorte quidem novem exiere, sed octo duntaxat extant. Nam Ulyssem (fuit enim et ipse in eo numero) Nero Romam asportasse dicitur. Uni vero tantum, Agamemnoni scilicet, nomen adscriptum est, *atque inverso quidem ordine*, a dextera in laevam partem excurrentibus literis. Et is quidem, cuius in scuto pro insigni gallus gallinaceus, Idomeneus est Minois nepos, a Pasiphae Solis filia oriundus. Gallinaceum certe soli sacram avem celebrant, quod cantu solis ortum nunciet. Incisi sunt in basi elegi:

24. ἑστήκασιν δύρασι Ag. δώρασι, o super ω, M.

25. ἐπιβεβηκὼς Va. ἐςβεβληκὸς La. ὧν δὲ ἐπὶ id.

26. ὄντων B e coni. Coraii; τῶν FCSVa; τὸν AXKMLabAgPcVb; τὸν ἀριθμὸν ὀκτὼ Sylb. probante S. ἔννατον Va.

27. ἀγαμέμνονι LabMPcAgVab. Sine dubio scriptum fuit ἐπὶ μόνῳ τῷ Ἀγαμέμνονι. Mox καὶ τοῦτον (?) ἐπὶ τὰ παλαιά Vb. Tum ἐπίθυμα (η sup. υ) τῇ ἀσπίδῃ Vb. Malimus h. l. et IV, 16. 7. ἐπίσημα, ut IX, 40, 10. Inter ἐστιν et ἐπίθημα Lb inserit γεγραμμένον inter uncos.

28. τοῦ Ἡλίου Edd. PcVabLbM; τοῦ om. LaAg. mox πασιφάην M. τοῦ πρὸς πασιφάην VbLab. τοῦ προςπασιφάην Va.

29. φασὶν ἱερὸν Ag. ἀγγέλειν La.

*Τῷ Διΐ*[30] *τ'Ἀχαιοὶ τἀγάλματα ταῦτ' ἀνέθηκαν,*
*Ἔγγονοι*[31] *ἀντιθέου Ταντλίδα Πέλοπος.*

445 *τοῦτο μὲν δὴ ἐνταῦθά ἐστι*[32] *γεγραμμένον. ὁ δὲ ἀγαλματοποιὸς ὅστις ἦν ἐπὶ τοῦ Ἰδομενέως γέγραπται τῇ ἀσπίδι·*

*Πολλὰ μὲν ἄλλα σοφοῦ ποιήματα καὶ τόδ' Ὀνάτα*
*Ἔργον, ὃν Αἰγίνῃ γείνατο παῖδα Μίκων.*

11 (6) *Οὐ πόῤῥω δὲ τοῦ Ἀχαιῶν ἀναθήματος καὶ Ἡρακλῆς*[33] *ἐστὶν ὑπὲρ τοῦ ζωστῆρος μαχόμενος πρὸς τὴν Ἀμαζόνα ἔφιππον γυναῖκα. τοῦτον Εὐαγόρας μὲν γένος Ζαγκλαῖος ἀνέθηκεν, ἐποίησε δὲ Κυδωνιάτης Ἀριστοκλῆς. ἐν δὲ τοῖς μάλιστα ἀρχαίοις καταριθμήσασθαι καὶ τὸν Ἀριστοκλέα ἐστι·*[34] *καὶ σαφῶς μὲν ἡλικίαν οὐκ ἔχοι τις ἂν εἰπεῖν αὐ-*

Signa Iovi haec olim magno posuistis Achivi,
Queis genus a divo Tantalida Pelope.

Opificis nomen in ipso inscriptum est Idomenei scuto:

Praestans laude operum multorum fecit Onatas,
Cui patria Aegine, cuique Micon genitor.

(6) Non longe ab Achaeorum domo Hercules est, cum equestri Amazone pro balteo pugnans. Euagoras quidem Zanclaeus posuit, fecit Cydoniates Aristocles. Potest hic Aristocles inter vetustissimos numerari; nec certo quisquam eius aetatem prodere queat. Hoc constat, fuisse illum, antequam

30. *Διΐ τ'* XKFC, male, nam *τ'* est articulus, quod iam vidit Sylb., probarunt Iacobs, Passov. *τε* Ag; *γ'* super *τ'* in Pa. *τἀχαιοὶ* scribit Boeckhius C. I. Tom. I. p. 47. mox *τἀγάλματα* B. *τὰ ἀγάλματα* Edd. rell. AgPcMVabLab.

31. *ἐγγόνου* LbPcAgVab. *ἔγγονου* MLa. *ἔκγονοι* voluit Hartungus. mox *ταντλίδου* Ag.

32. *ἐστιν* Ag. mox *Ὀνάτα* BPcAgVaLb; *Ὀνατᾶ* edd. rell.; *ὀνάτᾶ* (sic) La; sed signum ~ litterae *α* impositum, non est circumflexus, sed ductus quidam, quo librarii nomina propria indicare solent. *ὀνάτου* Vb; silet M. tum *ἔργον αἰγεινήτου εἰσεγείνατο* Ag. *ἔργον αἰγινήτου ὃν ἐγείνατο* MVa. *ἔργον αἰγινη ἐγείνατο* (τ superscr.) Pc. *ἔργον αἰγινήτεω τὸν ἐγείνατο παῖδα κίμων* Vb; *ἔργον αἰγεινοτέω τὸν γείνατο* La; *ἔργον αἰγινήτου ὃν ἐγείνατο παῖδα μ.* Lb. *ἔργον ἐν Αἰγίνῃ τὸν τέκε* AXKFCS. *ἔργον ὃν Αἰγίνῃ γείνατο* B. ex em. Buttmanni; quam probat O. Mueller Annal. Goetting. 1828. nr. 204.

33. *ἡρακλεῖς — μαχόμενον* La. mox *Ζαγκλαῖος* CSB ex em. F; *Ζάγκλιος* AXKFPcAgMVabLab. mox *κυδονιάτης* A.

34. *ἔστι* om. Va; tum *ἔχει* Vb. Sqq. *δῆλα — γενέσθαι* om. Ag. *τῇ ζάγκῃ* La. mox *ζήτησιν ἐκπλησάντες* (sic) id.

τοῦ, δῆλα δὲ ὡς πρότερον ἔτι ἐγένετο, πρὶν ἢ τῇ Ζάγκλῃ
τὸ ὄνομα γενέσθαι τὸ ἐφ' ἡμῶν Μεσσήνην. (7) Θάσιοι δὲ 12
Φοίνικες τὸ ἀνέκαθεν ὄντες, καὶ ἐκ Τύρου καὶ Φοινίκης
τῆς ἄλλης ὁμοῦ Θάσῳ τῷ Ἀγήνορος κατὰ ζήτησιν ἐκπλεύ-
σαντες τὴν Εὐρώπης, ἀνέθεσαν Ἡρακλέα ἐς Ὀλυμπίαν,
τὸ βάθρον χαλκοῦν ὁμοίως τῷ ἀγάλματι. μέγεθος μὲν δὴ
τοῦ ἀγάλματός εἰσι πήχεις[35] δέκα, ῥόπαλον δὲ ἐν τῇ δεξιᾷ,
τῇ δὲ ἀριστερᾷ χειρὶ[36] ἔχει τόξον. ἤκουσα δὲ ἐν Θάσῳ,
τὸν αὐτὸν σφᾶς Ἡρακλέα ὃν καὶ Τύριοι σέβεσθαι,
ὕστερον δὲ ἤδη τελοῦντας ἐς Ἕλληνας νομίσαι καὶ Ἡρακλεῖ
τῷ[37] Ἀμφιτρύωνος νέμειν τιμάς. τῷ δὲ ἀναθήματι τῷ 13
ἐς Ὀλυμπίαν Θασίων ἔπεστιν ἐλεγεῖον·

Υἱὸς[38] μέν με Μίκωνος Ὀνάτας ἐξετέλεσσεν
Αὐτὸς[39] ἐν Αἰγίνῃ δώματα ναιετάων.

τὸν δὲ Ὀνάταν τοῦτον[40] ὅμως, καὶ τέχνης ἐς τὰ ἀγάλματα

Zancle (quo nomine aetate nostra appellatur) Messene vocaretur. (7) Dedicarunt et Thasii (qui e Tyro et reliqua Phoenice oriundi, ad Europam quaerendam cum Thaso Agenoris filio classi profecti sunt) Herculem in Olympia aeneum, super aenea basi. Eius magnitudo est cubitum X: dextera clavam, arcum laeva tenet. Et Thasi quidem audivi Tyrium esse Herculem, quem Thasii ab initio essent venerati: sed enim quum se illi Graecis adiunxissent, coeptos ab iis Amphitryonis etiam filio honores haberi. Adscripti sunt Thasiorum dono elegi:

Signa Micone satus haec est fabricatus Onatas,
Contigit Aeginae cui coluisse domos.

Onatam hunc, quamvis genus Agineticum in statuis suis ex-

35. πήχυς MVb; πῆχ.. (υς ambig.) Va.

36. χειρὶ om. Ag. mox σεύεσθαι idem.

37. τῷ CSBAgPcdLabVa, ut voluit Sylb. τοῦ XKF. τὸ AVb.

38. υἱὸν Smin. vit. typoth. με B ex em. Hermanni. γε AXKFCS VbLaM (?). om. PcAgLbVa. tum μίκενος La; μίκονος MPcAgVa. ὄνατας MAg; ὄνοτας LbVaPc; Ὀνατᾶς et Ὀνατᾶν AXKFCS. Ὀνάτας et Ὀνάταν BLa. ἐξετέλεσεν AMVab Lab.

39. αὐτὸ LabMAgVab, quod probat F, recepit Smin. νεαιτάων Vb. Deinde ὠνατάν Vb, ὄναταν M, ὄνατα Va. ὄνοταν Lb.

40. τοῦτον τέχνης ἐστὶν ἀγάλματα ὄντα αἰγινέας Va. τοῦτον ὅμως καὶ τέχνης ἐστὶν ἀγάλματα ὄντα αἰγεινέας (αἰγεινητέας M sec. exc. nostra) MPcAgLbR (in R inter ἔστιν et ἀγάλματα supra vers. insertum est τὰ, ad marg. οὗ τινος τῆς); τοῦτον ὅμως, καὶ τέχνης ἐς τὰ ἀγάλματα ὄντα αἰγιναίας, οὐδενὸς κ. τ. λ. La, ut B e vestigiis Pc edidit. τοῦτον, οὗτινος τῆς τέχνης ἐστὶ τὰ ἀγάλματα, ὄντα Αἰγινήτην, οὐδενὸς Edd. ante B, Vb. Denique ἐργαστήριον M.

ὄντα Αἰγιναίας, οὐδενὸς ὕστερον θήσομεν τῶν ἀπὸ Δαιδάλου τε καὶ ἐργαστηρίου τοῦ Ἀττικοῦ.

## CAPUT XXVI.

**De signo victoriae a Doriensibus Messeniis Olympiae posito — Micythi donaria recensentur — inter ea signum Agonis (Certaminis) halteres portantis — de Micytho — Minervae et Victoriae non alatae signo — signis Herculis quorundam laborum ab Heracleotis positis et de Heraclea ipsa.**

446 *Μεσσηνίων δὲ τῶν Δωριέων*[1] *οἳ Ναύπακτόν ποτε παρὰ Ἀθηναίων λαβόντες ἄγαλμα ἐν Ὀλυμπίᾳ Νίκης ἐπὶ τῷ*[2] *κίονι ἀνέθεσαν. τοῦτό ἐστιν ἔργον μὲν Μενδαίου Παιωνίου, πεποίηται δὲ ἀπὸ ἀνδρῶν πολεμίων, ὅτε Ἀκαρνᾶσι καὶ Οἰνιάδαις (ἐμοὶ δοκεῖν) ἐπολέμησαν. Μεσσήνιοι δὲ αὐτοὶ λέγουσι τὸ ἀνάθημά σφισιν ἀπὸ τοῦ ἔργου τοῦ ἐν τῇ Σφακτηρίᾳ νήσῳ μετὰ Ἀθηναίων, καὶ οὐκ ἐπιγράψαι τὸ ὄνομα τῶν πολεμίων*[3] *σφᾶς τῷ ἀπὸ Λακεδαιμονίων δείματι, ἀπὸ Οἰνιαδῶν δὲ καὶ Ἀκαρνάνων οὐδένα ἔχειν φό-*

presserit, tamen nulli secundum ducimus eorum, qui a Daedalo ex Attica officina nobiles artifices extitere.

Cap. XXVI. E Doriensibus Messeniis ii, qui olim Naupactum ab Atheniensibus acceptam tenuere, Victoriae signum super pila dedicarunt. Opus hoc fuit Mendaei Paeonii, de manubiis factum Acarnanum (sicuti ego existimo) et Oeniadarum. At Messenii ipsi monumentum esse praedicant rei ad Sphacteriam cum Atheniensibus gestae, atque id eo maxime argumento, quod hostium nomen adscripturi fuerint, si Acarnanes illi, aut Oeniadae fuissent, quorum certe simultatem veriti non fuissent: at ne Lacedaemonios offenderent, de industria inscriptionem mis-

Cap. XXVI. 1. *δωρίων οἱ ναύπακτοι* La.
2. in *τῷ* recte offendit S. mox *ἀνέθηκαν* Vb. *ἔργον μὲν δαίου* id. *Παιονίου* AXK. tum *ἀκαρνᾶσιν* Ag. mox *σφισιν* [*εἶναι*] *ἀπὸ τοῦ* C. e coni. F. *τοῦ* post *ἔργον* ad marg. habet La.
3. *πόλεων* M. mox *ἀπὸ Οἰν. δὲ* scripsimus e coni. Vid. ad X, 23. not. 27. *ἐπὶ Οἰν. δὲ* Edd. ante B, AgLabMVab. *ἐπεὶ* Pc, ut videtur, unde B scripsit *ἐπεὶ Οἰν. γε* AXKF Smin. *Οἰνιάδων*. sq. *καὶ* om. Va; deinde *ἔχει* id. *ἀκαρνάων καὶ οὐδένα* La.

βον. (2) Τὰ δὲ ἀναθήματα Μικύθου[4] πολλά τε ἀριθμὸν καὶ οὐκ[5] ἐφεξῆς ὄντα εὕρισκον. ἀλλὰ Ἰφίτου μὲν τοῦ Ἠλείου καὶ Ἐκεχειρίας στεφανούσης τὸν Ἴφιτον, τούτων μὲν δὴ τῶν εἰκόνων ἔχεται τοσάδε ἀναθήματα τῶν Μικύθου[6] Ἀμφιτρίτη καὶ Ποσειδῶν τε καὶ Ἑστία· Γλαῦκος δὲ ὁ ποιήσας ἐστὶν Ἀργεῖος. παρὰ δὲ τοῦ ναοῦ τοῦ μεγάλου τὴν ἐν ἀριστερᾷ πλευρὰν ἀνέθηκεν ἄλλα, Κόρην τὴν Δήμητρος καὶ Ἀφροδίτην Γανυμήδην τε καὶ Ἄρτεμιν, ποιητῶν δὲ Ὅμηρον καὶ Ἡσίοδον, καὶ θεοὺς αὖθις Ἀσκληπιὸν καὶ Ὑγίειαν.[7] (3) Ἀγών τε ἐν τοῖς ἀναθήμασίν ἐστι[8] τοῖς Μικύθου φέρων ἁλτῆρας. οἱ δὲ ἁλτῆρες οὗτοι παρέχονται σχῆμα τοιόνδε. κύκλου παραμηκεστέρου καὶ οὐκ ἐς τὸ ἀκριβέστατον περιφεροῦς[9] εἰσιν ἥμισυ. πεποίηνται δὲ ὡς καὶ τοὺς δακτύλους τῶν χειρῶν διϊέναι καθάπερ δι'[10] ὀχάνων ἀσπίδος. τούτων μὲν δὴ σχῆμά ἐστι τὸ

sam fecisse. (2) Et Micythi quidem multa offendi passim posita dona; et post Iphiti Elei a *praeside induciarum dea* (Ἐκεχειρίαν *Graeci vocant*) coronam accipientis imaginem haec propemodum perpetuo ordine collocata sunt, Amphitrite, Neptunus, Vesta; quae omnia fecit Glaucus Argivus. *Idem vero Micythus* ad laevum magni templi latus Proserpinam dedicavit, Venerem, Ganymedem, Dianam: e poetis Homerum et Hesiodum: Deos rursus alios, Aesculapium, et Hygian. (3) Et inter cetera Micythi dona Agonis ipsius *tanquam dei* signum est, halteres portantis. Halteres isti speciem praeferunt semicirculi, non exacte rotundi, sed oblongioris; ita vero sunt fabricati, ut manuum digiti per eos traiici possint, veluti per amenta cly-

4. AgPcMLa in hoc capite constanter offerunt σμικύθου; Lb. h. l. et §. 3. μικύθου. Va primo et secundo loco σμικύθου, tertio μικύθου; Vb primo σμικύθου, secundo σμυκύθου, tertio μικύθου; in reliquis locis σμ. habent VabLb. Scripsimus Μικύθου cum C. Vide c. 24, 6. not. 18. — Sqq. πολλά τε — Ἠλείου καὶ om. Lb; sed inserit paullo inferius post ἀναθήματα [τῶν om.] Μικύθου; et repetit ἐκεχειρίας usque ad ἀναθήματα τῶν (h. l. habet articulum).

5. οὐκ om. Va. mox τούτων μὲν δὴ recepimus e Va; δὴ om. rell. οἰκόνων Vb.

6. σμικύθου La. Ἀμφ. τε καὶ Ποσ. AXKFCPc; τε om. SBMAgVabLab. mox κόριν La.

7. ἀσκληπιὸν δὲ Va; voluitne ἀσκληπιόν τε? Ὑγίειαν SBPcAg; Ὑγείαν AXKFCMVabLb. ὑγεῖαν La.

8. ἐστιν M, ἐστὶν τῆς Vb. mox ἀλτείρας Ag. ἀλτῆρας et mox ἀλτῆρες MLb. mox παρέχονται BAg? παρέσχονται PcLa; παρέσχοντο AXKFCSMVb; παρέσχον τὸ Va; παρείχοντο coni. Coraes.

9. περιφερῆς Va. tum πεποίηνται Ag; πεποίηται Edd. PcMVabLab.

10. διὰ ὀχ. Va; tum τούτων FCSBVaPcAgLab; τοῦτον MVb; τοῦτο AXK.

εἰρημένον. Παρὰ δὲ τοῦ Ἀγῶνος τὴν εἰκόνα Διόνυσος[11]
καὶ ὁ Θρᾷξ ἐστὶν Ὀρφεὺς καὶ ἄγαλμα Διός, οὗ δὴ καὶ
ὀλίγῳ πρότερον ἐπεμνήσθην. ταῦτα ἔργα ἐστὶν Ἀργείου
Διονυσίου, τεθῆναι[12] δὲ ὑπὸ τοῦ Μικύθου καὶ ἄλλα
4 ὁμοῦ τούτοις λέγουσι, Νέρωνα δὲ ἀφελέσθαι φασὶ καὶ
ταῦτα. τοῖς δὲ ἐργασαμένοις αὐτά, γένος οὖσιν Ἀργείοις,
Διονυσίῳ τε καὶ Γλαύκῳ, διδάσκαλόν σφισιν οὐδένα ἐπι-
λέγουσιν· ἡλικίαν δὲ αὐτῶν ὁ τὰ ἔργα ἐς Ὀλυμπίαν ἀνα-
447 θεὶς ἐπιδείκνυσιν ὁ Μίκυθος.[13] (4) Τὸν γὰρ δὴ Μίκυ-
θον τοῦτον[14] Ἡρόδοτος ἔφη ἐν τοῖς λόγοις ὡς Ἀναξίλα[15]
τοῦ ἐν Ῥηγίῳ τυραννήσαντος γενόμενος δοῦλος καὶ ταμίας
τῶν Ἀναξίλα χρημάτων ὕστερον τούτων ἀπιὼν οἴχοιτο ἐς
5 Τεγέαν τελευτήσαντος Ἀναξίλα. τὰ δὲ ἐπὶ τοῖς ἀναθήμα-
σιν ἐπιγράμματα καὶ πατέρα[16] Μικύθῳ Χοῖρον καὶ Ἑλ-
ληνίδας αὐτῷ πόλεις Ῥήγιόν[17] τε πατρίδα καὶ τὴν ἐπὶ τῷ
πορθμῷ Μεσσήνην δίδωσιν.[18] οἰκεῖν δὲ τὰ μὲν ἐπιγράμ-

peorum. Haec halterum figura est. Prope Agonis signum est Liber Pater, Orpheus Thrax, et Iovis (cuius ante mentionem feci) signum. Sunt haec omnia Argivi Dionysii opera. Alia item dedicata a Micytho memorant, quae Nero amoverit. Opificum ipsorum Dionysii et Glauci Argivorum certi magistri non produntur: quo vero fuerint tempore, ex ipsa Micythi aetate intelligi potest. (4) Micythum enim Herodotus scripsit Anaxilae Rheginorum tyranni servum, ac deinde quaestorem fuisse; mortuo vero Anaxila, Tegean migrasse. Testantur inscriptiones *multae*, Choerum illi patrem, Graecas urbes Rhegium patriam, et Messenen, quae ad fretum est, domicilium fuisse.

11. *Διόνυσος* AgPd, Amasaeus, C SB. *Διονύσιος* AXKFPcMVabLab.
12. *τεθεῖναι* Va. mox *λέγουσιν — φασὶν* Ag. *ἀφελέσθαι, λέγουσι* Va, *λέγουσι* correctum est in vulgatam ut videtur. Mox *διδάσκαλον φασὶν* Va.
13. *σμύκυθος* Ag. *ὡς μίκυθος* Vb.
14. *τοῦτον καὶ ἡρόδοτος* Va.
15. *αναξύλα* h. l. et postea Vb. tum *ἐν ἀργίω* LbPcM. (*ἐν ἀρηγίῳ* sec. exc. n.); *ἐν ἀργείῳ* AgVa. Post *γενόμενος* M inserit *δέ*. Sq. *δοῦλος* om. La. mox *τελευτίσαντος* Lb.
16. *πατέρας μικύθῳ* Ag. tum *χεῖρον*, *οἱ* super *ει*, Pc.
17. *ῥίγιον* PdAg. mox *ἐπὶ τῷ πορθμῷ* SBPacdAg; *ἐπὶ πορθμῷ* AXKFCMVab.
18. Locus in edd. et codd. turbatus in AXKSBPcdAgLbMVab ita legitur: *δίδωσιν οἰκεῖν· καὶ τὰ μὲν ἐπιγράμματα ἐν Τεγέᾳ φησὶν* [*φασὶν* AXKFCLbMVab] *αὐτόν*. Distinctionis ope loco mederi conati sunt FC, *δίδωσιν. οἰκεῖν καὶ τὰ μὲν ἐπιγράμματα ἐν Τεγ. φασὶν αὐτόν* scribentes. *Καὶ τὰ μὲν ἐπὶ τοῖς ἀναθήμασιν ἐπιγράμματα — Μεσσήνην δίδωσιν οἰκεῖν. τὰ δὲ ἐν Τεγέᾳ φασὶν αὐτὸν* sc. *οἰκεῖν* coni. Goldh. *δίδωσιν· οἰκεῖν δὲ τὰ μὲν ἐπιγράμματα ἐν Τεγ. φ. α.* coni. Coraes,

ματα ἐν Τεγέᾳ οὔ φησιν αὐτὸν, τὰ δὲ ἀναθήματα ἀνέθηκεν ἐς Ὀλυμπίαν εὐχήν τινα ἐκτελῶν ἐπὶ σωτηρίᾳ παιδὸς νοσήσαντος νόσον[19] φθινάδα. (5) Πλησίον δὲ τῶν 6 μειζόνων ἀναθημάτων Μικύθου, τέχνης δὲ τοῦ Ἀργείου Γλαύκου, Ἀθηνᾶς ἄγαλμα ἕστηκε[20] κράνος ἐπικειμένη καὶ αἰγίδα ἐνδεδυκυῖα· Νικόδαμος μὲν εἰργάσατο ὁ Μαινάλιος, Ἠλείων δέ ἐστιν ἀνάθημα. παρὰ δὲ τὴν Ἀθηνᾶν πεποίηται Νίκη·[21] ταύτην Μαντινεῖς ἀνέθεσαν, τὸν πόλεμον δὲ οὐ δηλοῦσιν ἐν τῷ ἐπιγράμματι. Κάλαμις[22] δὲ οὐκ ἔχουσαν πτερὰ ποιῆσαι λέγεται ἀπομιμούμενος[23] τὸ Ἀθήνησι τῆς ἀπτέρου καλουμένης ξόανον. (6) Πρὸς δὲ τοῖς ἐλάσ- 7 σοσιν ἀναθήμασι[24] τοῦ Μικύθου ποιηθεῖσι δὲ ὑπὸ Διονυσίου, πρὸς τούτοις Ἡρακλέους ἐστὶ τῶν ἔργων τὸ ἐς τὸν λέοντα τὸν ἐν Νεμέᾳ καὶ ὕδραν τε καὶ ἐς τὸν κύνα τοῦ

Epigrammata quidem eum Tegeae habitasse non testantur: dona vero, *quae superius enumeravi*, in Olympia dicitur ex voto posuisse, liberato filio tabidi morbi periculo. (5) Qua in parte maiora sunt Micythi dona, quae fecit Argivus Glaucus, prope est Minerva galeam et aegidem induta, Nicodami Maenalii opus, ab Eleis dedicata. Adsistit Minervae Victoria, quam Mantinenses, incertum quo bello confecto, dedicarunt. Id enim non indicat inscriptio. Calamis fecisse dicitur: alas vero non addidit, exemplar secutus signi eius *prisci*, quod Athenis est, et involucre nuncupatur. (6) Proximo vero loco minoribus Micythi donis, quae Dionysius fecit, Herculis positi sunt labores: pugna cum leone Nemeo, et cum hydra; Cerberi raptus,

probatus a B. Negationem deesse sensit S, ideoque in ed. mai. asteriscum ante φησὶν posuit. Hoc enim dicere vult Pausanias: Herodotus [VII, 170] narrat, Micythum Tegeae habitasse, sed nullam huius rei mentionem faciunt epigrammata. Apparet igitur, particulam negativam casu aliquo excidisse: librarius errore animadverso margini adscripsit οὐ, quod La quum loco sinistro insereret, scripsit οὐκ ἐν Τεγέᾳ φησίν: nos scripsimus ἐν Τεγέᾳ οὔ φησιν. Verbum οἰκεῖν autem, ubi semel distinctione ad δίδωσιν relatum fuit, pro δὲ, quod posuimus, καὶ scribi necesse fuit.

19. νόσου M. mox τέχνης SB ex em. F. τέχνη AXKFCPcAgMVab Lab.

20. ἐστὶ καὶ Ag. tum Νικόδαμος — ἀνάθημα om. Va.

21. νίκης AgVabLab. μαντινεῖσαν ἔθεσαν Lb.

22. δάμαλις LbVaMR. ad marg. R. κάλαμις.

23. ἀπομιμούμενοι M. mox ἀθήνησιν Ag; ἀθηνᾳσι La.

24. ἀναθήμασι om. Ag. σμυκύθου Vb; πειηθεῖσι, οι sup. ει M. mox Διονυσίου FCSB ex em. Sylb. quam confirmant AgLa; Διονύσου AXKPcLbMVab. ἐστιν τῶν AgVb. νεμαία Vb. τὸν ἐννέα καὶ La. Mox ἐς τ`ν BLabPcAg; εἰς τὸν edd. rell. Deinceps ἡρακλειῶται Vb.

Ἅιδου καὶ τὸν ἐπὶ Ἐρυμάνθῳ ποταμῷ κάπρον. ἐκόμισαν δὲ αὐτὰ ἐς Ὀλυμπίαν Ἡρακλεῶται Μαριανδυνῶν ὁμόρων βαρβάρων καταδραμόντες[25] τὴν χώραν. Ἡ δὲ Ἡράκλεια πεπόλισται μὲν ἐπὶ Εὐξείνῳ πόντῳ, ἀπῳκίσθη δὲ ἐκ Μεγάρων· μετέσχον δὲ καὶ Βοιωτῶν Ταναγραῖοι τοῦ οἰκισμοῦ. τούτων[26] δὲ ἀντικρὺ τῶν κατειλεγμένων ἔστιν ἄλλα ἀναθήματα ἐπὶ στοίχου, τετραμμένα μὲν πρὸς μεσημβρίαν,[27] τοῦ τεμένους δὲ ἐγγύτατα, ὃ τῷ Πέλοπι ἀνεῖται.

## CAPUT XXVII.

Donaria Phormidis Olympiae — inter ea equus, cui hippomanes inest — de miro cinere in duobus Lydiae templis — signo Phormidis — signis Mercurii arietem portantis et Mercurii cum caduceo — bobus aeneis a Corcyraeis et Eretriensibus Olympiae positis — tropaeo aeneo ab Eleis erecto — Pentathli signo, Mendaeorum donario.

Ἐν δὲ αὐτοῖς καὶ τὰ ἀνατεθέντα[1] ἐστὶν ὑπὸ τοῦ Μαιναλίου Φόρμιδος, ὃς ἐκ Μαινάλου διαβὰς ἐς Σικελίαν παρὰ Γέλωνα τὸν Δεινομένους καὶ ἐκείνῳ τε αὐτῷ καὶ Ἱέρωνι ὕστερον ἀδελφῷ τοῦ Γέλωνος[2] ἐς τὰς στρατείας ἀποδεικνύμενος λαμπρὰ ἔργα ἐς τοσοῦτο προῆλθεν εὐδαι-

apri Erymanthii caedes. Haec omnia in Olympia Heracleotae dedicarunt evastatis finitimis Mariandynorum finibus. Accolae Euxini Ponti sunt Heracleotae, Megarensium colonia: sed etiam e Boeotiis Tanagraei coloniae deducendae participes fuerunt. E regione horum, quae iam enumeravimus, donariorum, alia sunt continenter posita signa, ad meridiem conversa, proxime ad fanum illud, quod Pelopi dedicatum est.

Cap. XXVII. Inter haec illa spectantur, quae dicavit Phormis Maenalius. Hic a Maenalo quum in Siciliam transmisisset, multa dedit bellicae virtutis documenta, pluribus expeditionibus partim a Gelone Dinomenis filio, partim vero a Gelonis fratre Hierone susceptis. Quare ad luculentam pro-

25. καταδραμῶντες MAg. Deinceps ἐπεὶ εὐξ. Va. tum μετέσχον δὲ καὶ Βοιωτῶν Ταν. BPcAgLa; καὶ Ταν. δὲ μετέσχον Βοιωτῶν rell.

26. a τούτων δὲ novum caput incipit B.

27. μεσυμβρίαν — πέλωπι Vb.

Cap. XXVII. 1. ανετα, sup. vers. θεν, La. tum μεναλίου, αι sup. ε, Vb. tum ὃς ἐκ μαιναλίου La. τοῦ δειν. Va.

2. ἀγέλῶνος M. ἀγέλωνος Vb. τῷ Γέλωνος malit S.

μονίας, ὡς ἀναθεῖναι[3] μὲν ταῦτα ἐς Ὀλυμπίαν, ἀναθεῖναι 448
δὲ καὶ τῷ Ἀπόλλωνι ἄλλα τε καὶ ἐς Δελφούς. τὰ δὲ ἐς Ὀλυμ- 2
πίαν δύο τέ εἰσιν ἵπποι καὶ ἡνίοχοι δύο, ἑκατέρῳ[4] τῶν
ἵππων παρεστὼς ἀνὴρ ἡνίοχος. ὁ μὲν δὴ πρότερος τῶν
ἵππων καὶ ὁ ἀνὴρ Διονυσίου τοῦ Ἀργείου, τὰ δεύτερα δὲ
ἔργα ἐστὶν Αἰγινήτου Σίμωνος. τῷ προτέρῳ[5] δὲ τῶν ἵπ-
πων ἐπίγραμμα ἔπεστιν ἐπὶ τῇ πλευρᾷ, τὰ πρῶτα οὐ σὺν
μέτρῳ· λέγει δὴ[6] οὕτω·

Φόρμις ἀνέθηκεν
Ἀρκὰς Μαινάλιος, νῦν δὲ Συρακόσιος.

(2) Οὗτός ἐστιν ὁ ἵππος ὅτῳ καὶ τὸ[7] ἱππομανὲς λόγῳ 3
τῷ Ἠλείων ἔγκειται. δῆλα δὲ καὶ ἄλλα ἔστι μὴν ἀνδρὸς

vectus fortunam, non haec duntaxat Olympio Iovi, sed alia etiam Delphico Apollini dona dicavit. Olympica eius dona sunt equi duo, aurigae totidem. Adsistit enim suus utrique equo auriga. Alterum fecit Dionysius Argivus, Aegineta Simon alterum. Incisa est in prioris equi latere inscriptio, cuius prior pars non est metro adstricta: hoc fere modo,

Phormis dedicavit
Arcas Maenalius, nuncque Syracosius.

(2) Huic equo hippomanes infusum Elei tradunt magi hominis astu, quo esset intuentibus miraculo. Magnitudine ille quidem

3. ἀναθῆναι LaMAgVa. h. l. et MAgVa paullo post. Mox τῷ Ἀπόλλωνι BPcAgVb, in Va τῷ deletum videtur. τῷ om. Edd. rell. Lab. Tum ἄλλα δὲ ἐς AXKMPcAgVbLb; δὲ om. FCSBLa, ut iam Sylb. voluerat; ἄλλα καὶ ἐς Va, unde nos ἄλλα τε καὶ ἐς scripsimus. ἐς ἀδελφούς Vb.

4. ἑκατ. δὲ τῶν Va. ἑκατέρων τῶν La.

5. πρωτέρῳ Vb. ἔπεστι ἐπὶ Ag; ἐν Pc. ἐ..στιν (literae mediae ambig.) Va; ἔπεστιν τῇ, omissa praepositione, Vb.

6. γὰρ δὴ AXKFCBAgPcVabLab; γὰρ om. SM. mox φόρμιος Va. μενάλιος Ag. mox Συρακούσιος AXKFCLbMVab. Συρακόσιος SBAgPcLa, ut Sylb. et Pors. voluerunt. Inscriptionem uno versu proferunt Edd. praeter S.

7. τὸ om. Va; tum τῶ λείων id. ἔκγειται Ag. δηλῶ La. mox ἄλλα ἐς τιμὴν ἀνδρὸς Edd. (praeter C.) Pc. Sylburgius ἐστὶν ἢ μὴν coniiciens dubitavit recipere tanquam insolentius, sed ecce AgLb ἔστι μὴν habent. Fortasse ἔστι μοι alicui placeat. καὶ ἄλλῳ coni. K, i. e. *non solis Eleis, verum etiam aliis.* δῆλα δὲ καὶ ἄλλῳ ἐστὶ σὺν ἀνδρὸς alia est Kuhnii coni. δῆλα δὲ καὶ ἄλλως τὰ μὴν (vel μὲν) ἀνδρὸς coni. F. δῆλα δὲ καὶ ἄλλως ἐστὶ μὲν ἀ. C. δῆλα δὲ καὶ ἄλλως ἐστὶν ἀνδρὸς μάγου σοφίᾳ γίνεσθαι τὰ συμβαίνοντα Coraes. δῆλα δὲ καὶ ἄλλα ἔστι τινὰ ἀνδ. coni. S.

μάγου σοφίᾳ γενέσθαι συμβαίνοντα τῷ ἵππῳ. μέγεθος μὲν
ἢ εἶδος ἵππων ἀποδεῖ πολλῷ,[8] ὅσοι τῆς Ἄλτεως ἐντὸς
ἑστήκασι· πρὸς δὲ ἀποκέκοπταί τε τὴν οὐρὰν καὶ ἔστιν
4 ἐπὶ τῷ τοιῷδε ἔτι αἰσχίων. οἱ δὲ ἵπποι οἱ ἄρσενες οὔτι[9]
που τοῦ ἦρος μόνον ἀλλὰ καὶ ἀνὰ πᾶσαν ἐπ' αὐτὸν ὀρ-
γῶσιν ἡμέραν. καὶ γὰρ ἐσθέουσιν[10] ἐς τὴν Ἄλτιν ἀποῤῥη-
γνύοντες τὰ δεσμὰ ἢ καὶ ἐκφεύγοντες τοὺς ἄγοντας, καὶ
ἐπιπηδῶσιν αὐτῷ πολλῷ δή τι ἐμμανέστερον ἢ ἐπὶ τὴν καλ-
λίστην ἵππον ζῶσάν τε καὶ ἠθάδα[11] ἀναβαίνεσθαι. ἀπο-
λισθάνουσί τε δὴ αὐτοῖς αἱ ὁπλαὶ, καὶ ὅμως οὐκ ἀπαγο-
ρεύουσι χρεμετίζοντές τε μᾶλλον καὶ ἐπιπηδῶντες[12] μετὰ
βιαιοτέρας τῆς ὁρμῆς, πρὶν ἂν ὑπὸ μαστίγων καὶ ἀνάγκης
ἰσχυρᾶς ἀφελκυσθῶσι· πρότερον δὲ οὐκ ἔστιν ἀπαλλαγὴ
5 σφισιν οὐδεμία ἀπὸ τοῦ χαλκοῦ. (3) Καὶ ἄλλο ἐν Λυδίᾳ
θεασάμενος οἶδα διάφορον μὲν θαῦμα ἢ κατὰ τὸν ἵππον
τὸν Φόρμιδος, μάγων μέντοι σοφίας οὐδὲ αὐτὸ ἀπηλλα-
γμένον.[13] ἔστι γὰρ Λυδίοις ἐπίκλησιν Περσικοῖς ἱερὰ ἐν

et specie inferior est equis multis intra Altin positis, et deformiorem cauda praecisa reddit: sed illum mares equi non vere tantum, sed plane quavis anni parte appetunt. Irrumpentes enim vel effractis vinculis intra Altin, vel e rectorum manibus elapsi, illum invadunt, nihil hercle minus furenter, quam si viventem pulcherrimam equam gregalem inituri adorirentur. Cedunt illis quidem ungulae; non prius tamen desinunt hinnitu omnia late complere, rabidoque impetu denuo in eum insilire, quam scuticis et acriori aliqua vi edomiti ab illo aere abstrahantur. (3) Aliud certe in Lydia ipse miraculum vidi, illud quidem a Phormidis equo diversum, non tamen magorum artis expers. Sunt in Lydis, qui Persici cognomine vocantur, urbes Hierocaesarea et Hypaepa. In templo utriusque urbis *am-*

8. πολλῷ scripsimus e coni. Coraii, quam probant SB. πολλῶν Edd. AgPcMVabLab. ἀποδεῖ πολλῶν bis in Lb. mox ἑστήκασιν Ag. ἀποκεκόπτεταί M. sq. τε om. Va. Mox αἰσχύων Vb; δ' ἵπποι BLabPcAg.
9. οὗτοι Ag. οὔτι πω τοῦ ἦρους Vb. mox ἡμέραν Amas. vertit: *anni parte*, unde F recte suspicatur, eum ὥραν legisse.
10. θέουσιν Va. ἀπορηγνύοντες Vb; sq. τὰ e Va. add. FCSB. om. AXKAgPcMVbLab.

11. ηθάδε M. ἠθάδε A. mox ἀπολισθαίνουσι tacite ediderunt FC; ita La. ἀπὸ λισθαίνουσί τε Va.

12. ἐπιπιδῶντες A. mox βιαιωτέρας AgVb; sq. τῆς om. Va. ἀφελκυσθῶσιν Ag. Deinceps ὑπὸ τοῦ Va.

13. ἀπηλλεγμένον M. ἀπηλεγμένον — λιδύοις Vb. περσικῆς VaLb. mox ἱεροκαισαρίᾳ Ag. καισαρείᾳ Va; tum ὑπαίοις Ag; praecedens ἐν om. Va.

τε Ἱεροκαισαρείᾳ καλουμένῃ πόλει καὶ ἐν Ὑπαίποις. ἐν 149
ἑκατέρῳ δὲ τῶν ἱερῶν οἴκημά τε, καὶ ἐν τῷ οἰκήματί ἐστιν
ἐπὶ βωμοῦ τέφρα· χρόα[14] δὲ οὐ κατὰ τέφραν ἐστὶν αὐτῇ
τὴν ἄλλην. ἐσελθὼν δὲ ἐς τὸ οἴκημα ἀνὴρ μάγος καὶ ξύλα 6
ἐπιφορήσας αὖα[15] ἐπὶ τὸν βωμὸν πρῶτα μὲν τιάραν ἐπέ-
θετο ἐπὶ τῇ κεφαλῇ, δεύτερα δὲ ἐπίκλησιν ὅτου δὴ θεῶν
ἐπᾴδει βάρβαρα καὶ οὐδαμῶς συνετὰ Ἕλλησιν· ἐπᾴδει δὲ
ἐπιλεγόμενος ἐκ βιβλίου. ἄνευ τε[16] δὴ πυρὸς ἀνάγκη πᾶσα
ἁφθῆναι τὰ ξύλα καὶ περιφανῆ φλόγα ἐξ αὐτῶν ἐκλάμψαι.
τάδε μὲν ἐς τοσοῦτο[17] ἡμῖν δεδηλώσθω. (4) Ἔστι δὲ ἐν 7
τοῖς ἀναθήμασι[18] τούτοις καὶ αὐτὸς ὁ Φόρμις ἀνδρὶ
ἀνθεστηκὼς πολεμίῳ, καὶ ἐφεξῆς ἑτέρῳ καὶ τρίτῳ γε αὖθις
μάχεται. γέγραπται δὲ ἐπὶ τούτοις, τὸν στρατιώτην[19] μὲν
τὸν μαχόμενον Φόρμιν εἶναι τὸν Μαινάλιον, τὸν δὲ ἀνα-
θέντα Συρακόσιον Λυκόρταν· δῆλα δὲ ὡς οὗτος ὁ Λυ-
κόρτας κατὰ φιλίαν ἀναθείη τοῦ Φόρμιδος. τὰ δὲ ἀναθή-
ματα τοῦ Λυκόρτα καλεῖται Φόρμιδος καὶ ταῦτα ὑπὸ Ἑλ-
λήνων.[20] (5) Ὁ δὲ Ἑρμῆς ὁ τὸν κριὸν φέρων ὑπὸ τῇ 8

*plissimo* cellae cum aris; super his cinis alio longe colore a vulgari cinere. Huc ingressus magus ubi, foco aridis lignis impositis, tiara caput velarit, invocat Deum nescio quem. Ex libro enim carmen recitat barbaricum, lingua plane ignota Graecis. Ubi peroravit, sponte sua e lignis, nullo igne admoto, purissima emicat flamma. Sed ut redeat, unde huc digressa est oratio, inter Phormidis donaria ipsius Phormidis statua visitur cum hoste cominus dimicans, uno, et item altero ac tertio. (4) Adscriptum est, pugnantem illum militem Phormin Maenalium esse: dedicatum fuisse a Syracusano Lycorta. Satis perspicuum cuivis esse potest, dedicasse Lycortam necessitudine adductum Phormidis. A Graecis tamen, quae Lycortae fuerunt dona, Phormidis appellantur. (5) At Mercurius arie-

14. χρόαν PcAgLab. mox αὐτῇ CS ex em. Schneideri, BAgPcVb(?) Lb. αὐτὴ AXKFMVaLa.

15. αὖ MR: ad marg. R. αὖα. mox πρῶτα μὲν μὲν (sic) Va.

16. τε δὴ B e coni. Coraii. δὲ δὴ Edd. rell. PcAgMVbLb; in La δὲ sup. vers.; ἄνευ — ξύλα om. Va. mox ἀνάγκη πᾶσι M.

17. τοσοῦτο BPcLab; τοσοῦτον Edd. rell. AgMVb, silet Va. δεδηλόσθω Vb.

18. ἀναθήμασιν Ag. mox ἀνθεστηκὸς Lab. ἑτέρῳ καὶ τρίτῳ γε BPcAgLab; ἑτέρῳ γε καὶ τρίτῳ AXKF CSmin.MVb. ἑκατέρῳ γε καὶ τρ. Va. ἑτ. τε καὶ τρ. Smai. e corr. Porsoni.

19. στρατιῶτιν Vb; tum φόρμην Va; μενάλιον Vb. Mox Συρακόσιον BPcAg. Συρακούσιον rell. Mox δὲ καὶ οὗτος La.

20. Ἠλείων Buttmannus. καὶ ταῦτα — τῶν φόρμιδος om. Va.

μασχάλῃ καὶ ἐπικείμενος τῇ κεφαλῇ κυνῆν καὶ χιτῶνά τε καὶ
χλαμύδα ἐνδεδυκὼς οὐ τῶν Φόρμιδος ἔτι ἀναθημάτων
ἐστὶν, ὑπὸ δὲ Ἀρκάδων ἐκ Φενεοῦ[21] δέδοται τῷ θεῷ.
Ὀνάταν δὲ τὸν Αἰγινήτην, σὺν δὲ αὐτῷ Καλλιτέλην ἐργά-
σασθαι λέγει τὸ ἐπίγραμμα· δοκεῖ μοι δὴ,[22] τοῦ Ὀνάτα
μαθητὴς ἢ παῖς ὁ Καλλιτέλης ἦν. Οὐ πόῤῥω δὲ τοῦ Φε-
νεατῶν ἀναθήματος ἄλλο ἐστὶν ἄγαλμα, κηρύκιον[23] Ἑρ-
μῆς ἔχων. ἐπίγραμμα δὲ ἐπ᾽ αὐτῷ, Γλαυκίαν ἀναθεῖναι
9 γένος Ῥηγῖνον, ποιῆσαι δὲ Κάλλωνα Ἠλεῖον. (6) Βοῶν
δὲ τῶν χαλκῶν[24] ὁ μὲν Κορκυραίων, ὁ δὲ ἀνάθημα Ἐρε-
τριέων, τέχνη δὲ Ἐρετριέως ἐστὶ Φιλησίου.[25] καὶ ἀνθ᾽
ὅτου μὲν οἱ Κορκυραῖοι τόν τε ἐν Ὀλυμπίᾳ καὶ ἕτερον
βοῦν ἐς Δελφοὺς ἀνέθεσαν, δηλώσει μοι τὰ ἐς[26] Φωκέας
τοῦ λόγου. ἐπὶ δὲ τῷ Ὀλυμπίασιν αὐτῶν ἀναθήματι συμ-
10 βῆναι τοιόνδε ἤκουσα. παῖς μικρὸς ὑπὸ τούτῳ καθήμε-
νος τῷ βοῒ ἐς τὸ κάτω νενευκὼς ἔπαιζεν[27] ἀνασχὼν δὲ

tem sub ala portans, galea caput armatus, idemque amictus tunica et chlamyde, nihil omnino is ad Phormidis donaria pertinet. Olympio enim Iovi Pheneatae ex Arcadia illum dedicarunt. Fecisse Onatam Aeginetam, et cum eo simul Callitelem, indicat inscriptio. Fuit autem Onatae vel discipulus vel filius (uti ego arbitror) Calliteles. Non longe a Pheneatum dono aliud est Mercurii signum: caduceum is tenet: testatur inscriptio positum a Glaucia Rhegino: opificem fuisse Callonem Eleum. (6) Duae item ex aere boves ibidem sunt: alteram Corcyraei, Eretrienses alteram dedicarunt: utraque Eretriensis Philesii opus. Quam ob rem vero Corcyraei bovem in Olympia unam, et unam item Delphis dedicarint, quum ad Phocensium res pervenerit historia, exponemus. Etenim quod de Olympica eorum bove me audire memini, id nempe est: parvulum puerum, quum sub ea bove sedens pronus luderet, sublatum temere caput

21. φονεοῦ et φονεατῶν M. φονέου Va. ἐν Φενεοῦ K. vit. typogr. mox Ὀνάταν et ὀνάτα BMPcAgLab MVb; Ὀνατᾶν et Ὀνατᾶ AXKFCS. ὀνότα et ὀνάταν Va. σὺν δὴ αὐτ. Va.

22. δὲ PcAgLab; om. Va. mox καλλίτελος La.

23. κηρύκιον SMAgVab. κηρύκειον rell. Mox δὴ (?) ἐπ᾽ Vb. ῥιγῖνον LaAg. κάλλονα Ag.

24. χαλκείων Va. κυρκυρέων M AgVbLab.

25. λησίου M; ἐστὶν λυσίου Va; φηλησίου, ϊ sup. η, La.

26. τὰς ἐς VbLb. mox ἀναθήματι, ~ i. e. α super ι, La.

27. ἔπαιξεν VaLb. mox ἡμετέραις ὕστ. Lb.

ἐξαίφνης τὴν κεφαλὴν κατεάγη τε αὐτὴν πρὸς τὸν χαλκὸν, καὶ ἐκ τοῦ τραύματος ἡμέραις ὕστερον ἀπέθανεν οὐ πολλαῖς. Ἠλεῖοι μὲν δὴ τὸν βοῦν ἅτε αἵματι ἔνοχον ἐβουλεύοντο ἐκκομίσαι τῆς Ἄλτεως·[28] ὁ δὲ σφᾶς θεὸς ὁ ἐν 450
Δελφοῖς κατὰ τὸ ἀνάθημα καθάρσια ἔχρα ἐπ' αὐτῷ ποιησαμένους, ὁπόσα Ἕλληνες ἐπὶ ἀκουσίῳ φόνῳ νομίζουσιν.
(7) Ἔστι[29] δὲ ὑπὸ ταῖς ἐν τῇ Ἄλτει πλατάνοις κατὰ μέσον 11
μάλιστά που τὸν περίβολον τρόπαιον χαλκοῦν, καὶ ἐπίγραμμα ἐπὶ τοῦ τροπαίου[30] τῇ ἀσπίδι, Ἠλείους ἀπὸ Λακεδαιμονίων ἀναστῆσαι. ἐν ταύτῃ τῇ μάχῃ καὶ τὸν ἄνδρα ἐπέλαβεν ἐκεῖνον ἀφεῖναι[31] τὴν ψυχὴν, ὃς τοῦ Ἡραίου τῆς ὀροφῆς κατ' ἐμὲ ἀνασκευαζομένης ἐνταῦθα ὁμοῦ τοῖς ὅπλοις εὑρέθη κείμενος. (8) Τῶν δὲ ἐν Θρᾴκῃ Μεν- 12
δαίων[32] τὸ ἀνάθημα ἐγγύτατα ἀφίκετο ἀπατῆσαί με ὡς ἀνδρὸς εἰκὼν εἴη πεντάθλου· καὶ κεῖται μὲν παρὰ τὸν

tam vehementer aeri impegisse, ut ex eo vulnere non ita multis post diebus e vita excesserit. Elei bovem caedis ream extra Altin exportare in animo habebant; sed Apollinis Delphici oraculo moniti sunt, ut bovem eo ritu expiarent, quo solent Graeci inconsultae caedis fraudem eluere. (7) Est sub platanis circa medium fere Altis ambitum aeneum tropaeum: titulus in affixo ibi clypeo incisus docet, Eleos victis Lacedaemoniis illud erexisse. Haec nempe illa fuit pugna, in qua ille animam exhalavit, cuius cadaver, quum Iunonis templum sartum tectum curarent, inter tecti fastigium et lacunar cum armis repertum est. (8) Mendaeorum certe (qui sunt in Thracia) donum multis videri possit quinquertionis statua. Posita illa quidem est iuxta

28. ἄλτεω Va. tum σφὰς θεὸς, sine ὁ Va, quod F iam voluit; σφᾶς ὁ θεὸς rell. Pro sq. κατὰ Boeckhius coni. καταλείπειν, B. κατὰ χώραν ἐᾶν. Post νομίζουσιν S. animo supplet τοῦτο ἐᾶν. Tum καθάρσια om. MLb.

29. ἔστιν M.

30. ἐπὶ τῷ τροπαίῳ ἐπὶ τῇ ἀ. SB Va; ἐπὶ τῷ τρ. τῇ ἀ. AXKFCAgPc MVbLab, unde C. coni. ἐπὶ τοῦ τροπαίου τῇ ἀσπίδι, quod recepimus; mox ἀναστῆναι MAgLa.

31. ἀφῆναι AgVb. τ. ψ. ὃ Ag. ἡραίου τῆς om. La. mox καὶ ἐνταῦθα ὁμοῦ τῆς ὅπ. id.

32. μενδέων M; μεδέων Vb. mox ἐγκύτατα Ag. Mox με CSB ex em. K; μὲ La; μὲν AXKFMVabLb; tum ὡς ἀνδρὶ εἰκ..(extrema ambig.) Va. εἰκὼς La.

Ἠλεῖον Ἀναυχίδαν·[33] ἔχει δὲ ἁλτῆρας ἀρχαίους. ἐλεγεῖον δὲ ἐπ' αὐτῷ[34] γεγραμμένον ἐστὶν ἐπὶ τοῦ μηροῦ·

Ζηνὶ θεῶν βασιλεῖ μ'[35] ἀκροθίνιον ἐνθάδ' ἔθηκαν
Μενδαῖοι, Σίπτην[36] χερσὶ βιασσάμενοι.

ἡ[37] μὲν δὴ Θρᾴκιόν τι εἶναι τεῖχος καὶ πόλις ἔοικεν ἡ Σίπτη. Μενδαίοις δὲ[38] αὐτοῖς γένος τε Ἑλληνικὸν καὶ ἀπὸ Ἰωνίας ἐστίν· οἰκοῦσι δὲ ἀπὸ θαλάσσης ἄνω τῆς πρὸς Αἴνῳ πόλει.

Eleum Anauchidem, halteres priscos tenens. In eius femore inscriptio incisa,

Mendaei, Sipte saevo Mavorte subacta,
Primitias summo hic me posuere Iovi.

Coniici potest, Sipten Thraciae castellum vel urbem fuisse. Mendaei e Graecia atque adeo ex Ionia oriundi sunt. Sedes Mendaeorum ab eo mari, quod Aenum urbem alluit, tendunt versus superiorem regionis partem.

33. *Ἀναυχίδαν* CSB ex em. Sylb. *Ἀναύχιδα* AXKFAgPcLabM Va; *ἀναύχηδα*, *ι* sup. *η*, Vb. mox *ἀλτῆρας* MLb. *ἀχαιοὺς* AgVb. Va marg.

34. *ἐπ' αὐτῷ* S ex em. Schneideri, BPc? *ἐπ' αὐτὸ* AXKFCAgMVab Lab.

35. *με* A*PcAgMVabLab. Tum *ἔνθα δ'* Lb. *ἔθηκεν* La. *μινδαῖοι* Va.

36. *σίππην* LbM (silent exc. nostra) Ag*PcVa. et paullo post *σίππη* M AgPcVabLb. tum *χερσιασάμενοι* Lb M (*χερπσιασάμενοι* sec. exc. nostra); *βιασάμενοι* ABPcAgLa; *χερσὶν βιασάμενοι* Vb; *βιασσάμενοι* XKFCS; *χερσιάμενοι* (sic) Va.

37. *τὸ μὲν δὴ* MVtLab.

38. *τε* LabVaMAg. *μενδιαίοις* [*ια* ambig.] Va. Mox *τοῖς πρὸς* Vb. *πρὸς* om. Va. „Cum nulli alii mentionem faciant de illis Mendaeis, mihi suspecta est lectio; quid si *πρὸς Σάνῃ* legatur? — sed exspectanda aliunde lux.“ *Palmer. MS.* Adoptaverunt hanc coniecturam Nibby in interpretatione et Valck. ad Herod. IV, 18. — AAgVabLab huic libro adiungunt *ἕπεται δὲ* — *μετὰ τοῦτο* ex initio libri sequentis, et eadem in fronte libri sequentis repetunt; at Va *τὰ*, Vab *τὸ* omittunt. Tum *τέλος τοῦ α^ου τῶν ἡλιακῶν λόγου ε^ου* Ag. *τέλος ἡλιακῶν α^ω καὶ ἀρχὴ τοῦ β^ου ἡλιακῶν* Pc.

## ΠΑΥΣΑΝΙΟΥ

# ΕΛΛΑΔΟΣ ΠΕΡΙΗΓΗΣΕΩΣ

## ΗΛΙΑΚΩΝ Β.

# ΗΛΙΑΚΩΝ Β SEU LIB. VI.

## CAPUT I.

**Post exordium recensentur signa et donaria insigniorum in ludis Olympicis victorum Olympiae posita.**

***Ἕπεται[1] δέ μοι τῷ λόγῳ τῷ ἐς τὰ ἀναθήματα τὸ μετὰ τοῦτο ἤδη ποιήσασθαι καὶ ἵππων ἀγωνιστῶν[2] μνήμην καὶ ἀνδρῶν ἀθλητῶν τε καὶ ἰδιωτῶν ὁμοίως· τῶν δὲ νικησάντων Ὀλυμπίασιν[3] οὐχ ἁπάντων εἰσὶν ἑστηκότες ἀνδριάντες, ἀλλὰ καὶ ἀποδειξάμενοι[4] λαμπρὰ ἐς τὸν ἀγῶνα, οἱ δὲ καὶ ἐπὶ ἄλλοις ἔργοις, ὅμως[5] οὐ τετυχήκασιν εἰκόνων. τούτους ἐκέλευσεν ἀφεῖναί με ὁ λόγος, ὅτι οὐ κα-*** 452 2
***τάλογός ἐστιν ἀθλητῶν[6] ὁπόσοις γεγόνασιν Ὀλυμπικαὶ νῖκαι, ἀναθημάτων δὲ ἄλλων τε καὶ εἰκόνων συγγραφή.***

**Cap. I.** Postulat dehinc suscepti operis ordo, ut post votivorum donariorum expositionem, equos certaminibus nobiles, et athletas, vel ordinarios etiam homines, persequamur. Et eorum quidem, qui victores e ludis Olympicis discessere, non omnium positae sunt statuae. Nam illos mihi, qui vel certantes praeclare se gesserunt, vel virtutis quovis alio modo specimen aliquod dedere, statuarum tamen honorem non sunt consecuti, praetereundos intelligo. Neque enim athletas, qui in Olympicum stadium descendere, quibusve palma delata est,

**Cap. I. 1.** *Ἕπεται δὲ — μετὰ τοῦτο* fini quinti libri subiunctum hoc loco repetunt AgLab.

2. *ἀγωνιστῶν* BPcAgLab; *ἀγωνικῶν* VaM; *ἀγωνιστικῶν* AXKFCSVb. Orta videtur varietas e scriptura *ἀγωνικῶν* (with *ιστ* written above).

3. *Ὀλυμπίασιν* SBAg; *Ὀλυμπιασιν* VabM. *Ὀλυμπιάσιν* edd. rell. Lab.

4. *ἀποδεξάμενοι* Ag.

5. *ὁμοίως* Ag.

6. *ἀθλετῶν* Ag; mox *ὀλύμπια καὶ νίκαι* A, *νίκαι* etiam XVabLab; *ὀλυμπιακαὶ* edd. rell. codd.

οὐδὲ[7] ὁπόσων ἑστήκασιν ἀνδριάντες, οὐδὲ τούτοις πᾶ-
σιν ἐπέξειμι, ἐπιστάμενος ὅσοι τῷ παραλόγῳ[8] τοῦ κλή-
ρου καὶ οὐχ ὑπὸ ἰσχύος ἀνείλοντο ἤδη τὸν κότινον.
ὁπόσοις δὲ ἢ αὐτοῖς[9] εἶχεν ἐς δόξαν ἢ καὶ τοῖς ἀνδριᾶσιν
ὑπῆρχεν ἄμεινον ἑτέρων πεποιῆσθαι[10], τοσαῦτα καὶ αὐ-
3 τὸς μνησθήσομαι. (2) Ἔστι δὲ ἐν[11] δεξιᾷ τοῦ ναοῦ
τῆς Ἥρας ἀνδρὸς εἰκὼν παλαιστοῦ, γένος δὲ ἦν Ἠλεῖος,
Σύμμαχος Αἰσχύλου· παρὰ δὲ αὐτὸν ἐκ Φενεοῦ[12] τῆς
Ἀρκάδων Νεολαΐδας Προξένου πυγμῆς ἐν παισὶν ἀνῃρη-
μένος νίκην· ἐφεξῆς δὲ Ἀρχέδαμος[13] Ξενίου, καταβαλὼν
καὶ οὗτος παλαιστὰς παῖδας, γένος καὶ αὐτὸς Ἠλεῖος.
τούτων τῶν κατειλεγμένων εἰργάσατο Ἄλυπος τὰς εἰκόνας
4 Σικυώνιος, Ναυκύδους τοῦ Ἀργείου μαθητής. Κλεογέ-
νην[14] δὲ Σιληνοῦ τὸ ἐπίγραμμα τὸ ἐπ' αὐτῷ φησὶν εἶναι

persequi mihi propositum; sed quum in reliquis donis, tum vero maxime in statuis exponendis haec fuit opera sumenda. Quin ex iis etiam, quibus posita statua fuit, multos mihi praetermittendos censui, quum scirem illos non virtute, sed sortis fraude oleastrum adeptos. Eorum enim tantum mentio mihi facienda, qui vel merito suo, vel hominum opinione ceteris praestiterunt. (2) Ad dexteram Iunonis templi palaestrici hominis imago est: patria Eleus fuit, Symmachus Aeschyli filius: prope quem ex Pheneo Arcadiae Neolaidas est Proxeni filius, qui e puerorum pugilatu palmam tulit. Post hos Archedamus Xeniae filius, pueris in palaestra superatis, ipse etiam Eleus. Horum, quos iam nominavi, imagines fecit Alypus Sicyonius, Argivi Naucydis discipulus. Sileni vero filium Cleogenem inscriptio ex indigenis unum esse testatur; et de-

7. *οὐ δὲ — οὐ δὲ* seiunctim ALb.
8. *ὅσοι τὰ παρὰ λόγω* Vb; mox *ὑπὸ ἰχθύος* VbLb.
9. *αὐτὸς* Pc (*αὐτὸ* sec. B; num fortasse *αὐτ̊* = *αὐτός*?). Post hanc vocem *τι* B inserendum, S subaudiendum censent; aegre sane ea particula caremus. — *εἰς δόξ.* Pd. — Deinde *ἢ καὶ τοῖς* La; *καὶ τοῖς* MVaPcAgLb; *ἢ τοῖς* edd. Vb. — *ἀνδριᾶσιν* B; *ἀνδριάσιν* coni. K, recep. FCS; *ἀνδράσιν* AXKMVabPcAgLab.
10. *πεποιεῖσθαι* Vb.
11. *ἔστι δὲ ἐν* SVa; *ἔστιν ἐν* rell.
12. *φενοῦ* M; mox id. *πυγμός*.
13. *Ἀρχέδαμος* ABPcVabMAgLab; *Ἀρχίδαμος* XKFCS. Mox *καταλαβών* Vab; deinde *ναυκίδους* Vb.
14. *Κλεογένης* VabMAgLab; unde *Κλεογένην* scripsimus. *Κλεογένῃ* C. *Κλεογένη* rell.; tum *σηληνοῦ* Vb; *σηλεινοῦ* LabAgM (*Σηλενοῦ* sec. S.); *δὲ . . . . εινοῦ* Va, rec. man. inscripsit spatio vacuo *σηλ* —; etiam ad marg. Vb. varietas lectionis adscripta est, quae *Σηλεινοῦ* esse videtur. Mox *ἐφ' αὐτῷ* Ag.

τῶν ἐπιχωρίων, ἐκ δὲ ἀγέλης αὐτὸν οἰκείας ἵππῳ[15] κρα- 453
τῆσαι κέλητι. Πλησίον δὲ τοῦ Κλεογένους[16] Δεινόλο-
χός τε κεῖται Πύῤῥου καὶ Τρωΐλος Ἀλκίνου. τούτοις
γένος μὲν καὶ αὐτοῖς ἐστὶν ἐξ Ἤλιδος, γεγόνασι δέ σφι-
σιν οὐ κατὰ ταὐτὰ αἱ νῖκαι[17], ἀλλὰ τῷ μὲν ἑλλανοδικεῖν
τε ὁμοῦ καὶ ἵππων ὑπῆρξεν ἀνελέσθαι νίκας, τῷ Τρωΐ-
λῳ[18], τελείᾳ τε συνωρίδι καὶ πώλων ἅρματι· Ὀλυμπιάδι
δὲ ἐκράτει δευτέρᾳ πρὸς ταῖς ἑκατόν· ἀπὸ τούτου δὲ 5
καὶ νόμος ἐγένετο Ἠλείοις μηδὲ ἵππους[19] τοῦ λοιποῦ
τῶν ἑλλανοδικούντων καθιέναι μηδένα. τούτου μὲν δὴ
τὸν ἀνδριάντα ἐποίησε Λύσιππος· ἡ δὲ τοῦ Δεινολόχου
μήτηρ εἶδεν ὄψιν[20] ὀνείρατος ὡς ἔχοιτο τοῦ παιδὸς[21] ἐν
τοῖς κόλποις ἐστεφανωμένου, καὶ τοῦδε εἵνεκα ἐς τὸν
ἀγῶνα ὁ Δεινόλοχος ἠσκήθη, καὶ τοὺς παῖδας παρέθει
τρέχων. Σικυωνίου δὲ Κλέωνός ἐστιν ἡ εἰκών[22]. Ἐς 6
δὴ τὴν Ἀρχιδάμου Κυνίσκαν ἐς τὸ γένος τε αὐτῆς καὶ

sultorio equo de suo ipsius grege vicisse. Adhaeret Cleogeni Dinolochus Pyrrhi et Troilus Alcini filius, quibus est itidem ex Elide genus. Non vero eiusdem ludicri palma iis obtigit. Nam Troilus ludorum illo tempore praefectus de equiriis praemia tulit: bigis enim integrae aetatis equorum et pullorum curru vicit secunda supra centesimam Olympiade. Lege vero post Pyrrhi victoriam cautum ab Eleis est, ne quis ex ludorum praefectis in posterum equos in certamen mitteret. Huius fecit statuam Lysippus. Dinolochi vero mater per visum in quiete videre sibi visa est filium se coronatum in complexum suum recepisse. Eo somnio monitus puer strenue se ad gymnicorum certamina exercuit et pueros cursu antevertit; eius statuam fecit Cleon Sicyonius. De Cynisca vero Archidami

15. ἵππῳ e coni., quam firmare videtur Am. „desultorio equo de suo ipsius grege.“ ἵππων edd. codd.

16. Κλεοσθένους (Κλεομένους ambig.) Va. Deinde Πύῤῥου καὶ B; Πύῤῥος τε καὶ edd. rell. VaMLab; Πυρρός τε καὶ Ag; Πῦρός τε καὶ Vb; Πύρρος καὶ Pc. Mox Τρωΐλος Sylb. BS; Τράϊλος edd. rell. Lab.

17. κατὰ τὰ αὐτὰ αἱ νίκαι Va; κατὰ ταῦτα VbAgLab; tum τὸ μὲν Vb et ὑπῆρξαι M.

18. Post Τρωΐλῳ cum B delevimus δὲ. tum ξυνωρίδι Lb.

una typus in quo Cupido et Anteros caelati sunt: Cupido palmae termitem manibus tenet: eum illi Anteros de manibus extorquere conatur. In utraque primi aditus parte ad eum ambitum, quem Maltho diximus appellari, stat effigies pugilis pueri: hunc, qui apud Eleos legibus conservandis praefectus est (Nomophylax dicitur) mihi narravit, patria Alexandrinum fuisse, ab ea scilicet Alexandria quae supra Pharum insulam est, Sarapionem nomine. Honorem hunc ei habitum, quod in summa annonae caritate ad ludos veniens magnum frumenti numerum Elidem supportandum curarit. Huius in Eleos meriti et acceptae coronae tempus numeratur Olympias decima septima supra ducentesimam. (5) In eodem hoc gymnasio curiam suam habent Elei; et hic specimina edunt tum extemporanearum orationum, tum cuiusvis generis scriptorum. Lalichmium locus hic de eius qui dedicavit nomine vocatur. Affixa sunt circumquaque scuta, ad operis ornamentum, non

18. ἔχον AXKVbLabM, in hoc ω sup. ο. — ἐπειργασμένον Sylb. CSB; ἀπηργασμένον La; ἀπειργασμένον edd. codd. rell.
19. κλάδος Vb.
20. ἐσόδου om. Va.
21. ἀλεξανδρία Ag. — παραπίωνα M, σαραπίονα Vb, „Serapionem" Am. Post ἀφικόμενον Ag. om. δέ.
22. σίτου om. Va. — σφίσιν Ag.
23. τούτου AgLbVaM (sec. S.); τοῦτο Vb. — Mox χρόνου Ag, χρόνον La; deinde ὀλυμπία La.
24. ἑβδόμῳ MLb.
25. ἐπιδείξῃς Va; ἐπίδειξιν La. — χαλίχμιον Lb.
26. αὐτῷ, ὁ sup. ῷ, Ag. — ἀνάκεινται coni. B; ἅμα κεῖνται edd. codd.; cf. VI, 1. not. 26. — ἀσπίδες om. La.

8 ἔργον πολέμου πεποιημέναι. (6) Ἐκ δὲ τοῦ γυμνασίου πρὸς τὰ λουτρὰ ἐρχομένοις[27] δι᾽ ἀγυιᾶς τε ἡ ὁδὸς Σιωπῆς καὶ παρὰ τὸ ἱερὸν τῆς Φιλομείρακός ἐστιν Ἀρτέμιδος. τῇ μὲν δὴ θεῷ γέγονεν ἡ ἐπίκλησις ἅτε τοῦ[28] γυμνασίου γείτονι, τῇ ἀγυιᾷ δὲ Σιωπῇ[29] ὄνομα ἐπὶ λόγῳ τοιῷδε τεθῆναι λέγουσιν. ἄνδρες τοῦ Ὀξύλου στρατεύματος ἐπὶ κατασκοπῇ τῶν ἐν Ἤλιδι ἀποπεμφθέντες καὶ ἀλλήλοις διακελευσάμενοι κατὰ[30] τὴν ὁδὸν, ἐπειδὰν πλησίον γίνωνται τοῦ τείχους, φθέγγεσθαι μὲν μηδὲν ἔτι αὐτοὶ, ἐπακροᾶσθαι δὲ εἴ τι[31] παρὰ τῶν ἐντὸς πυθέσθαι δυνήσονται,[32] οὗτοι λανθάνουσι παρελθόντες ἐς τὴν πόλιν κατὰ τὴν ἀγυιὰν[33] ταύτην, καὶ ἐπακούσαντες ὁπόσα ἐβούλοντο[34] ἐπανίασιν αὖθις ἐς τοὺς Αἰτωλούς· καὶ ἡ ἀγυιὰ τὸ ὄνομα εἴληφεν ἀπὸ τῶν κατασκόπων τῆς σιωπῆς.

ad belli usum. (6) A gymnasio ad lavacra per viam itur, quae Silentii dicitur, praeter Dianae Philomiracis (Adolescentulorum amicae) templum. Cognomen dea quidem sumsit a gymnasii vicinitate. Viam vero ex eo Silentii appellatam hominum sermo prodidit, quod ab Oxylo speculatores missi ad exploranda Eleorum consilia, mutuis in itinere cohortationibus usi, quum propius iam ad moenia accessissent voce ipsi compressa propugnatorum sermones subauscultando excipientes, per hanc ipsam viam intra oppidum irrepserunt: cognitis vero et perspectis quae volebant omnibus, impune ad Aetolos redierunt. Ab hoc speculatorum silentio viam nomen accepisse affirmant.

27. ἐρχόμενοι Ag; ἐρχομένῳ La.
28. ἅτου M. — γείτωνι KVb.
29. Σιωπῇ BPcVaAg; Σιωπὴν Smin.; Σιωπή edd. rell. Lab. — τεθεῖναι Vb.
30. κατὰ om. Ag. Deinceps γένωνται Cor.; γίγνωνται Ag; γίνονται La.
31. δὲ ἔτι MVa. — πύθεσθαι AX.
32. δυνηθήσονται MVa. Mox ἐν pro ἐς M.
33. ἀγυιᾶν Vb. — ἐς τ. πόλιν — ἐπακούσαντες om. Ag.
34. ἐβουλεύοντο PcAgLab. — ἐπάνεισιν Va.

# CAPUT XXIV.

De foro Eleorum, Hippodromo dicto — Hellanodicaeone, domicilio praefectorum ludorum — porticu Corcyraica, Pyrrhonis sophistae signo et monumento — templis et signis in foro, Apollinis Acesii, Solis et Lunae, Gratiarum, Amoris — Sileni templo et Silenis — prisco templo, quod quernis columnis sustinetur — domo XVI feminarum.

Ἑτέρα δὲ ἔξοδος[1] ἐκ τοῦ γυμνασίου φέρει μὲν ἔς τε τὴν ἀγορὰν καὶ ἐπὶ τὸν Ἑλλανοδικαιῶνα καλούμενον, ἔστι δὲ ὑπὲρ τοῦ[2] Ἀχιλλέως τὸν τάφον· καὶ ταύτῃ τοὺς Ἑλλανοδίκας ἰέναι καθέστηκεν ἐς τὸ γυμνάσιον. ἐσίασι[3] δὲ πρὶν μὲν [τὸν[4]] ἥλιον ἀνίσχειν συμβαλοῦντες δρομέας, μεσούσης δὲ τῆς ἡμέρας ἐπὶ τὸ πένταθλον καὶ ὅσα βαρέα ἆθλα[5] ὀνομάζουσιν.

(2) Ἡ δὲ ἀγορὰ τοῖς Ἠλείοις οὐ κατὰ τὰς Ἰώνων καὶ 2
ὅσαι πρὸς Ἰωνίᾳ[6] πόλεις εἰσὶν Ἑλλήνων, τρόπῳ δὲ πεποίηται τῷ ἀρχαιοτέρῳ,[7] στοαῖς τε ἀπὸ ἀλλήλων διεστώσαις[8] καὶ ἀγυιαῖς δι᾽ αὐτῶν. ὄνομα δὲ τῇ ἀγορᾷ τὸ ἐφ᾽ ἡμῶν ἐστὶν Ἱππόδρομος, καὶ οἱ ἐπιχώριοι τοὺς

Cap. XXIV. Exitus alius ad forum excurrit a gymnasio, et ad comitium, quem Hellanodicaeonem vocant. Est is supra Achillis tumulum: et illac ludorum praefectos, qui Hellanodicae dicuntur, in gymnasium venire more maiorum traditum est. Et ante solis quidem ortum cursores committunt: dimidiato vero iam die quinquertia et graviora quae vocant certamina. (2) Forum autem Eleorum non eadem est descriptione, qua Ionum et Ioniae finitimarum urbium fora, sed antiquiore multo. Porticus modicis intervallis exaedificatae sunt, semitis pluribus intersecantibus. Recenti certe nomine Hippodromus forum ipsum

Cap. XXIV. 1. ἔξοδον La. — Ἑλλανοδικῶνα Sylb. „rectius Ἑλλανοδικεῶνα.“ B.
2. τοῦ om. VaLb. — ἀχιλλ. τ. στέφανον La. — ἐπὶ τὸ γυμν. Va Lb.
3. εἰσίασι SBPcVa(?)Lab; εἰσίασιν Vb; ἐσίασι Cor.; εἰσιᾶσι rell.; seq μὲν om. VaLb.
4. τὸν om. BPcAgLa. — συμβαλοῦντες Buttm. B; συμβάλλοντες Cor. SMVaLa; συμβαλλόντας, ε sup. α, Vb; συμβαλόντες ΛXKFC Pc(?)AgLb.
5. βαρέα ἆθλα Am. BAgLa; βαρ. ἆθλα Pc*; βαρ. ἄλλα edd. rell. M VabLb.
6. πρὸς Ἰωνίᾳ Am. BPc*AgLab; πρ. Ἰωνίαν rell. edd. MVab.
7. ἀρχαιωτέρῳ et ἀπὸ ἐλλήλων Vb.
8. διεστώσας M; διεστῶσαι Va; διεστώσαις — ἡμῶν ἐστὶν om. Vb. — πεδεύουσι et μοίραις La.

ἵππους παιδεύουσιν ἐνταῦθα. τῶν στοῶν δὲ ἡ πρὸς μεσημβρίαν ἐργασίας ἐστὶ τῆς Δωρίου, διαιροῦσι δὲ αὐτὴν ἐς μοίρας τρεῖς οἱ κίονες· ἐν ταύτῃ διημερεύουσι
3 τὰ πολλὰ οἱ Ἑλλανοδίκαι· ποιοῦνται δὲ πρὸς αὐτοὺς[9] καὶ βωμοὺς τῷ Διῒ καὶ εἰσὶν ἐν τῷ ὑπαίθρῳ τῆς ἀγορᾶς οἱ βωμοὶ πλῆθος οὐ[10] πολλοί· καταλύονται γὰρ οὐ
514 χαλεπῶς[11] ἅτε αὐτοσχεδίως οἰκοδομούμενοι. (3) Κατὰ ταύτην τὴν στοὰν[12] ἰόντι ἐς τὴν ἀγορὰν ἔστιν ἐν ἀριστερᾷ παρὰ τὸ πέρας τῆς στοᾶς ὁ Ἑλλανοδικαιών·[13] ἀγυιὰ δὲ ἡ διείργουσα ἀπὸ τῆς ἀγορᾶς ἐστὶν αὐτόν.[14] ἐν τούτῳ τῷ Ἑλλανοδικαιῶνι οἰκοῦσι δέκα ἐφεξῆς μῆνας οἱ αἱρεθέντες[15] ἑλλανοδικεῖν, καὶ ὑπὸ τῶν νομοφυλάκων
4 ὅσα ἐς τὸν ἀγῶνα σφᾶς δεῖ ποιεῖν[16] διδάσκονται. (4) Τῇ στοᾷ δὲ ἔνθα οἱ Ἑλλανοδίκαι διημερεύουσιν ἔστιν ἐγγὺς ἄλλη στοά, τὸ μεταξὺ αὐτῶν ἀγυιὰ μία·[17] ταύτην ὀνομάζουσι Κορκυραϊκὴν οἱ Ἠλεῖοι· ναυσὶ γὰρ[18] ἐς τὴν

appellatur. Erudiunt enim hic maxime equos indigenae. Quae porticus ad meridiem est Doricam prae se fert descriptionem. Eam trifariam columnae dividunt; in ea ludorum praefecti plerumque per totum diem sessitant; ad illas columnas Iovi aras statuunt, quae in subdiali fori parte sunt non ita multae; dissolvuntur enim non magno utique negotio. (3) Secundum hanc porticum ad forum accedenti, ad laevam circa extremam porticus partem est Hellanodicaeon medio calle a foro divisus. In eo perpetuos decem menses habitant qui ad ludorum praefecturam sunt delecti, totoque eo tempore a legum conservatoribus (nomophylacas appellant) edocentur de omnibus quae in ludorum celebratione fieri ab eis convenit. (4) A porticu ea in qua statio diurna est ludis praefectorum, aliam porticum callis unus disiungit: eam porticum Corcyraicam nominant, quod quum Corcyrenses ex Eleo agro appulsis navibus

9. πρὸς αὐτοῖς Cor.; δὲ καὶ πρὸς αὐτοὺς καὶ Ag.

10. οὐ om. Ag.

11. οὐ χαλεπῶς Am. Sylb. Palm. MS. CSB; οὐχ ἁπλῶς edd. rell. codd.

12. ταύτην τὴν τὴν (sic) στοὰν Vb; τὴν αὐτὴν στοὰν R; ad marg. γρ. ταύτην; seq. ἐν om. La.

13. ἑλλανοδικαιῶν Va, ἑλλανοδικῶν Vb.

14. ἔστιν αὐτοῦ VaLab; αὐτοῦ etiam MAg; ἔστιν αὐτὸν αὐτὸν· ἐν Vb. — τῇ ἑλλαν. MVa; τῷ om. La. — ἑλλανοδικαιῶν Lb. — δὲ καὶ pro δέκα MVa.

15. ἐρεθέντες Vb.

16. δεῖ ποιεῖν om. MAgLab.

17. μία e male repetito νια ortum videtur.

18. ναυσὶν ἐς, sine γὰρ, La. — σφαιτέραν MVb.

σφετέραν Κορκυραίους ἐλθόντας ἐλάσαι μοῖραν τῆς λείας[19] *** λέγοντες λαβεῖν τε ἐκ τῆς Κορκυραίων πολλαπλάσια, καὶ οἰκοδομήσασθαι τὴν στοὰν ἀπὸ τῶν λαφύρων τῆς δεκάτης. ἔστι δὲ ἡ κατασκευὴ τῆς στοᾶς Δώριος καὶ δι- 5
πλῆ, τῇ μὲν ἐς τὴν ἀγορὰν τοὺς κίονας τῇ δὲ ἐς τὰ ἐπέκεινα τῆς ἀγορᾶς ἔχουσα· κατὰ μέσον δὲ αὐτῆς οὐ κίονες, ἀλλὰ τοῖχος[20] ὁ ταύτῃ τὸν ὄροφον ἀνέχων ἐστίν· ἀνάκεινται δὲ καὶ εἰκόνες[21] ἑκατέρωθεν πρὸς τῷ τοίχῳ. κατὰ δὲ τῆς στοᾶς τὸ ἐς τὴν ἀγορὰν ἕστηκε Πύῤῥωνος τοῦ Πιστοκράτους εἰκὼν, σοφιστοῦ τε ἀνδρὸς καὶ ἐς βέβαιον ὁμολογίαν ἐπὶ οὐδενὶ λόγῳ καταστάντος. ἔστι δὲ καὶ μνῆμα τῷ Πύῤῥωνι οὐ πόῤῥω τοῦ Ἠλείων ἄστεως·[22] Πέτρα μὲν τῷ χωρίῳ τὸ ὄνομα, λέγεται δὲ[23] ὡς ἡ Πέτρα δῆμος εἴη τὸ ἀρχαῖον. (5) Ἠλείοις δὲ ἐν τῷ ὑπαίθρῳ 6

praedam egissent, ipsi mox Elei Corcyra [populationibus pervastata] multis partibus plura domum reportarint, [quam quae erepta fuerant]. De praedae itaque decima porticum erectam praedicant. Est operis Dorica forma, duplici surgente columnarum ordine: eorum unus ad forum, alter ad eas quae ultra forum sunt partes pertinet. Mediae porticus lacunar non columnae, sed continens paries sustinet, cuius utraque pars affixas habet imagines. Ad eam porticus partem, quae ad forum conversa est, Pyrrhonis Pistocratis filii statua cernitur, Sophistae hominis in omni re atque oratione assensionem retinentis. Est eiusdem sepulcrum non longe ab Eleorum urbe: Petra locus appellatur, et priscus hoc nomine fuisse videtur Eleorum vicus. (5) Habent Elei in fori area sub divo haec maxime in-

19. τῆς ἠλείας MVa; idem Am. legisse videtur. Sequentem lacunam primus vidit B; λέγουσι edd. praeter B; λέγουσιν Vb; λέγοντες BMVaPcAgLab. Utrumque fortasse recipiendum τῆς λείας λέγουσιν *** λέγοντες, λαβ., unde fiat perspicuum, quid lacunae causam praebuerit. „Uterque codex (MVa) τῆς Ἠλείας λέγοντες exhibet. Sic in antecedentibus pro puncto post Ἠλεῖοι comma ponendum et γὰρ delendum esset.“ F. Confirmat hanc coniecturam La. Seq. τε om. Vb.

20. τεῖχος Vb.

21. δὲ καὶ οἱ κίονες ἐκ. Va. — καὶ εἰκόνες om. La. — ἕστηκεν Vb La. — πισοκράτους La. Plistarchum a Diogene Laert. vocari observat Palm. MS.

22. ἄστεως AXKSmai. BVabPc AgLb; ἄστεως, ο sup. ω, M; ἄστεος FCSmin.; ἄστεος, ω sup. ο expuncto, La. — μέτρα μὲν Vb.

23. λέγεται δὲ Abresch ad Thucyd. p. 877. CSB; probant Valck. F; δὲ om. rell. edd. codd. In Lab distinguitur post λέγεται, quam ob causam δὲ excidere debuit, nisi compendium particulae δὲ in virgulam transiisse malis. Mox δῆλος εἴη Va.

τῆς ἀγορᾶς τὰ ἐπιφανέστατα ναός ἐστι καὶ ἄγαλμα Ἀπόλλωνος Ἀκεσίου· σημαίνοι δ' ἂν[24] τὸ ὄνομα οὐδέν τι ἀλλοῖον ἢ ὁ καλούμενος[25] Ἀλεξίκακος ὑπὸ Ἀθηναίων. ἑτέρωθι δὲ Ἡλίῳ πεποίηται καὶ Σελήνῃ λίθου τὰ ἀγάλματα, καὶ τῆς μὲν[26] κέρατα ἐκ τῆς κεφαλῆς τοῦ δὲ αἱ ἀκτῖνες ἀνέχουσιν. ἔστι δὲ καὶ Χάρισιν[27] ἱερὸν καὶ ξόανα ἐπίχρυσα τὴν ἐσθῆτα, πρόσωπα δὲ καὶ χεῖρες καὶ πόδες λίθου λευκοῦ· ἔχουσι δὲ ἡ μὲν αὐτῶν ῥόδον, ἀστράγαλον δὲ ἡ μέση, καὶ ἡ τρίτη κλῶνα οὐ μέγαν μυρσίνης.[28]

7

515 ἔχειν δὲ αὐτὰς ἐπὶ τοιῷδε εἰκάζοι τις ἂν τὰ εἰρημένα, ῥόδον μὲν καὶ μυρσίνην Ἀφροδίτης τε[29] ἱερὰ εἶναι καὶ οἰκεῖα τῷ ἐς Ἄδωνιν λόγῳ, Χάριτας δὲ Ἀφροδίτῃ μάλιστα εἶναι θεῶν· ἀστράγαλόν τε μειρακίων τε καὶ παρθένων,[30] οἷς ἄχαρι οὐδέν πω[31] πρόσεστιν ἐκ γήρως, τούτων εἶναι τὸν

signia opera. Aedes est et signum Apollinis Acesii. Hoc nimirum cognominis nihil diversum ab Averruncatoris, quod Atheniensibus numen est, significare videri possit. Alia in parte Solis et Lunae lapidea posita sunt signa: e Lunae capite cornua, e Solis radii existunt. Suum habent et Gratiae templum; simulacra lignea sunt, veste inaurata: facies, manus et pedes e candido marmore; earum una rosam, talum altera, myrti frondem exiguam tertia praefert. Quae sit insignium ratio facile coniiciat, qui attenderit, rosam et item myrtum Veneri sacram in fabula de Adonide celebrari; Gratiae vero Veneri prae ceteris diis attributae sint. Talus quidem adolescentulorum

24. σημαίνοι δ' ἂν BPcLa; σημαίνοι τοδ' ἂν Vab; σημαίνοιτο δ' ἂν rell. Scribendum videtur σημαίνοι τόδ' ἂν τὸ ὄνομα. Mox οὐδέν τοι La.

25. καλλούμενος Va. — ἠλεῖω, ε expunct. Vb.

26. τῇ μὲν Va. — οἱ ἀκτῖνες Vb.

27. χάριν ἱερὸν Vb. — ἐπίχρ. τὴν ἐσθ. SVa; ἐπίχρ. τὰ ἐς ἐσθ. edd. rell. PcAgLa; ἐπίχρ. τὰ ἐσθ. MLb; ἐπίχρ. ἐς ἐσθ. Vb. — χεῖρε Ag.

28. οὐ μέγα μερσύνης Va; οὐ μέγαν σμύρνης Vb; οὐ μέγα etiam Lb. — εἶχον δὲ Lb.

29. τε om. Va. — οἰκείᾳ A, οἰκεία Lb. — τῷ ἐς Ἄδωνιν λόγῳ, egregiam Buttmanni emendationem a B receptam expressis literis confirmat La; τῷ ἐς κάλλος λόγῳ edd. rell.; τῷ ἐςαλωνίῃ LbPcR; τῷ ἐν σαλωνίῃ M; τῷ ἐς σαλανίῃ Ag; τῷ ἐς κάλλει Va; τῷ ἐς κάλλῃ Vb et R marg.; οἰκεῖα τῷ ἐς κάλλος λόγῳ Χάριτας τῇ Ἀφροδίτῃ μάλιστα εἶναι θεῶν est Kuhnii coniectura Facio probata. — ἀφροδίτην μάλιστα Va; μάλιστα συνεῖναι Cor.; μάλ. εἶναι οἰκεῖον θεῶν Pa, quod se dedisse affirmat C, at non dedit.

30. ἀστράγαλων (ο sup. ω) τε καὶ παρθ. M; ἀστράγαλόν τι Lugdunensium alteruter; in excerptis nostris non est distincte expressum.

31. οὐδέ πω Vb; ἀχριουδέν πω La.

ἀστράγαλον παίγνιον. τῶν Χαρίτων δὲ ἐν δεξιᾷ ἄγαλμά
ἐστιν Ἔρωτος· ἕστηκε δὲ ἐπὶ βάθρου[32] τοῦ αὐτοῦ.
(6) Ἔστι δὲ καὶ Σιληνοῦ[33] ναὸς ἐνταῦθα, ἰδίᾳ τῷ Σι- 8
ληνῷ καὶ οὐχ ὁμοῦ Διονύσῳ πεποιημένος· Μέθη δὲ οἶνον
ἐν ἐκπώματι αὐτῷ δίδωσι. θνητὸν δὲ εἶναι τὸ γένος τῶν
Σιληνῶν εἰκάσαι τὶς ἂν μάλιστα ἐπὶ τοῖς τάφοις αὐτῶν·
ἐν γὰρ τῇ Ἑβραίων χώρᾳ Σιληνοῦ μνῆμα καὶ ἄλλου Σι-
ληνοῦ Περγαμηνοῖς[34] ἐστίν. (7) Ἠλείων δὲ ἐν τῇ ἀγορᾷ 9
καὶ ἄλλο τοιόνδε[35] εἶδον ναοῦ σχῆμα· ἔστι δὲ οὐχ ὑψη-
λὸν, καὶ τοῖχοι μὲν οὐκ εἰσὶ, τὸν ὄροφον δὲ δρυὸς ἀνέ-
χουσιν εἰργασμένοι κίονες. τοῦτο εἶναι μὲν ὁμολογοῦσιν
οἱ ἐπιχώριοι[36] μνῆμα, ὅτου δὲ οὐ μνημονεύουσιν· εἰ δὲ
ὁ γέρων ὄντινα ἠρόμην εἶπεν ἀληθῆ λόγον, Ὀξύλου τοῦτο
ἂν μνῆμα εἴη. (8) Πεποίηται δὲ ἐν τῇ ἀγορᾷ καὶ ταῖς 10
γυναιξὶν[37] οἴκημα ταῖς ἑκκαίδεκα καλουμέναις, ἔνθα τὸν
πέπλον ὑφαίνουσι τῇ Ἥρᾳ.

et virginum lusus est, quibus nihil adhuc ex senio decessit gratiae. In eadem basi Cupido Gratiis adsistit a dextera. (6) Templum ibidem Silenus habet proprium, non (ut multis in locis) cum Libero Patre commune. Ei Ebrietas vinum e poculo porrigit. Mortales vero ortu Silenos esse ex eo facile coniicias, quod apud Hebraeos et Pergamenos monstrantur Silenorum sepulcra. (7) Novam etiam quandam in Eleorum foro templi formam vidi. Modicae est aedes altitudinis, sine parietibus, tectum e quercu dolatis fulcientibus tibicinibus. Monumentum id esse inter omnes populares convenit: ecquisnam vero in eo sit conditus non memorant. Quod si vera senex quidam quem sum percontatus mihi exposuit, Oxyli esse monumentum statuendum fuerit. (8) In ipso etiam foro sedecim foeminarum (tot enim sunt et sic appellantur) domus est, in qua Iunoni peplum contexunt.

32. δὲ ἐπίβαθρον Va; ἐπὶ βάθρον Vb.

33. σηλινοῦ et σελινῷ Vb; σιλληνοῦ Ag.

34. περγαμιοῖς VabM (περγαμίοις sec. exc. nostra).

35. τοιοῦτόνδε Pc. — ἔστι δὲ — ἐπιχ. μνῆμα om. M. — ἔστιν δὲ La.

36. ἐπιχώριον, οι sup. ον, La.

37. δὲ καὶ ταῖς γυν. ἐν τῇ ἀγ. AXKFC; quem nos expressimus verborum ordinem exhibent SBMVab PcAgLab. — τὸ πέπλον Ag; τὸν πλέον VnLb; πέπλον ad marg. Vn.

# CAPUT XXV.

**De templo Elide Imperatoribus Romanis dedicato — Veneris Coelestis et Vulgivagae templo ac signis — Orci (Ἅιδου) templo eiusque cultus apud Eleos origine — Fortunae templo et Sosipolidis cultu atque imagine picta — viri, Satrapae dicti, signo et cultu.**

Ἔχεται δὲ τῆς ἀγορᾶς ναὸς ἀρχαῖος στοαῖς[1] ἐν κύκλῳ
περίστυλος· ὁ δὲ ὄροφος κατεῤῥύηκε τῷ ναῷ καὶ ἄγαλμα
οὐδὲν ἐλείπετο· βασιλεῦσι δὲ ἀνεῖται Ῥωμαίοις. (2) Ἔστι
δὲ τῆς στοᾶς ὀπίσω τῆς ἀπὸ τῶν λαφύρων τῶν ἐκ Κορ-
κύρας Ἀφροδίτης[2] ναὸς, τὸ δὲ ἐν ὑπαίθρῳ τέμενος οὐ
πολὺ ἀφεστηκὸς ἀπὸ τοῦ ναοῦ. καὶ τὴν μὲν ἐν τῷ ναῷ
καλοῦσιν Οὐρανίαν, ἐλέφαντος δέ ἐστι καὶ χρυσοῦ, τέχ-
516 νη Φειδίου,[3] τῷ δὲ ἑτέρῳ ποδὶ ἐπὶ χελώνης βέβηκε· τῆς
δὲ περιέχεται μὲν τὸ τέμενος θριγκῷ, κρηπὶς[4] δὲ ἐντὸς
τοῦ τεμένους πεποίηται καὶ ἐπὶ τῇ κρηπῖδι ἄγαλμα Ἀφρο-
δίτης χαλκοῦν ἐπὶ τράγῳ κάθηται χαλκῷ· Σκόπα τοῦτο
ἔργον, Ἀφροδίτην δὲ Πάνδημον ὀνομάζουσι.[5] τὰ δὲ
ἐπὶ τῇ χελώνῃ[6] τε καὶ ἐς τὸν τράγον παρίημι τοῖς θέλου-

Cap. XXV. Continenti cum foro tractu coniungitur antiqua aedes circumquaque porticibus et columnis incincta, tectum vetustate collapsum corruit, neque inter ruinas reliquum ullum signum est. Romanorum Imperatoribus fuit haec olim aedes dedicata. (2) Est autem ad posticum eius porticus quae de manubiis Corcyraeorum erecta fuit, Veneris aedes. Area templo sacrata sub divo non longe abest. Quae ibi colitur Coelestem Venerem vocant. Eius ex ebore et auro signum est, Phidiae opus; altero quidem pede testudinem premit. Area ipsa maceria est circumsepta; intra maceriam crepido, super qua Veneris quam Popularem nominant signum ex aere: capro insidet ex eadem fabricato materia, Scopae opus. Quae vel testudinis, vel capri ratio sit, quibus haec perscrutari curae est

Cap. XXV. 1. στραῖς La. — Verba Ἔχεται — Ῥωμαίοις Capiti XXIV. tribuit B.

2. ἀφροδίτης bis La, seq. ἐν om. idem; tum οὐ om. Vb. — οὐ πόλιν R, πολὺ ad marg.

3. φιδίου Ag.

4. κριπὶς Vb; mox κρηπῖδι Vab, ut solent.

5. ὀνομάζουσιν M.

6. ἐπὶ τῇ χελώνῃ BPc*AgLab; articulum om. rell. Mox Ag παρηΐμι, sine accentu.

σιν εἰκάζειν. (3) Ὁ δὲ ἱερὸς τοῦ Ἅιδου περίβολός τε καὶ 2
ναὸς (ἔστι γὰρ δὴ[7] Ἠλείοις καὶ Ἅιδου περίβολός τε καὶ
ναὸς) ἀνοίγνυται μὲν ἅπαξ κατὰ ἔτος ἕκαστον, ἐσελθεῖν
δὲ οὐδὲ τότε[8] ἐφεῖται πέρα γε τοῦ ἱερωμένου. ἀνθρώ-
πων δὲ ὧν ἴσμεν μόνοι[9] τιμῶσιν Ἅιδην Ἠλεῖοι κατὰ αἰ-
τίαν τήνδε. Ἡρακλεῖ στρατιὰν ἄγοντι ἐπὶ Πύλον τὴν ἐν
τῇ Ἤλιδι παρεῖναί οἱ καὶ Ἀθηνᾶν συνεργὸν[10] λέγουσιν·
ἀφικέσθαι οὖν καὶ Πυλίοις τὸν Ἅιδην συμμαχήσοντα[11]
τῇ ἀπεχθείᾳ τοῦ Ἡρακλέους, ἔχοντα ἐν τῇ Πύλῳ τιμάς.
ἐπάγονται δὲ καὶ Ὅμηρον τῷ λόγῳ μάρτυρα ποιήσαντα[12] 3
ἐν Ἰλιάδι·

Τλῆ δ' Ἀΐδης ἐν τοῖσι πελώριος ὠκὺν ὀϊστὸν,
Εὖτέ μιν ωὑτὸς ἀνὴρ υἱὸς Διὸς[13] αἰγιόχοιο
Ἐν Πύλῳ ἐν νεκύεσσι βαλὼν ὀδύνῃσιν[14] ἔδωκεν.

quaerendum relinquo. (3) Iam vero Summani ambitum et aedem (utrumque enim Elei Summano dedicarunt) semel quotannis aperiunt, neque tunc introire cuiquam praeterquam sacrificulo fas est. Soli omnium ex cognitis gentibus Elei Ditem patrem ob huiusmodi causam venerantur. Quum exercitum ad Pylon, quae in Elide est, oppugnandam Hercules adduxisset opem ei ferente Minerva, praesto etiam Pyliis ad ferendum auxilium Summanum fuisse dicunt, quod et Herculi esset infensus et singulari a Pyliis afficeretur honore. Testes vero citant huius rei Homeri ex Iliade versus:

Pertulit et saevus volucris mala vulnera teli
Dis pater, illum quum magno Iove natus ad alta
Tecta Pyli miserum cruciatu afflixit acerbo.

7. γὰρ δὴ BPcAgLab; δὴ om. rell. edd. MVab. Tum περίβολός τε καὶ ναὸς om. La.

8. οὐδὲ τότε Cor. SBVb; οὔτε τότε CMVaPcdAgLab; οὐ τότε AXKF. — ἐφεῖτε Va. — πέρα γε Pc* AgLab; παρά γε MRVabPd edd., praeter C, qui cum Sylb. παρέξ γε dedit; παρά γε τὸν ἱερώμενον Cor., probat S. — τοῦ ἱερωνύμου Vb, p. corr. ἱερωμένου; ἱερομένου Pc*. Mox εἰ pro δὲ La.

9. μόνοι Am. FCSBMVaPcAgR Lab; μνήμῃ AXKVb et R marg.

10. ἀθηνᾶν σερεργὸν Va, sec. man. συνεργόν.

11. συμμαχήσαντα MVa. Absurda videntur quae sequuntur ἔχοντα ἐν τῇ Πύλῳ τιμάς, hoc ipsum enim unde Plutoni apud Eleos fuerint honores narrare voluit Pausanias; quare suspicio orta, scribendum esse Ἅιδην, συμμαχήσαντά τε ἀπεχθείᾳ τοῦ Ἡρακλέους ἔχειν τὰς ἐν τῇ Πύλῳ τιμάς; cui coniecturae favet quod συμμαχήσοντά τε τῇ ἀπεχθ. habet La. — Mox ἐπάγοντα Lb.

12. ποιήσασθαι τὰ ἐν MVabPc AgLab.

13. υἱὸς Διὸς Sylb. SBPc*AgLab; Διὸς υἱὸς rell. edd. MVab. — αἰγιόχοις La.

14. βαλὼν δύνησιν Va.

εἰ δὲ κατὰ τὴν Ἀγαμέμνονος καὶ Μενελάου στρατείαν[15] ἐπὶ Ἴλιον Ποσειδῶν τῷ Ὁμήρου λόγῳ τοῖς Ἕλλησιν ἐπίκουρος ἦν, οὐκ ἂν ἄπο τοῦ[16] εἰκότος οὐδὲ Ἅιδην εἴη, δόξῃ γε τοῦ αὐτοῦ ποιητοῦ, Πυλίοις ἀμῦναι. Ἠλεῖοι δ' οὖν ὡς σφίσι[17] τε εὔνῳ καὶ ἀπεχθανομένῳ πρὸς τὸν Ἡρακλέα ἐποιήσαντο τὸ ἱερὸν[18] τῷ θεῷ. ἑκάστου δὲ ἅπαξ ἀνοίγειν τοῦ ἐνιαυτοῦ νομίζουσιν, ὅτι, οἶμαι, καὶ ἀνθρώποις ἅπαξ ἡ κάθοδος ἡ ἐς τοῦ Ἅιδου γίνεται.
4 (4) Τοῖς δὲ Ἠλείοις καὶ Τύχης ἱερόν ἐστιν·[19] ἐν στοᾷ δὲ
517 τοῦ ἱεροῦ μεγέθει μέγα ἄγαλμα ἀνάκειται, ξόανον ἐπίχρυσον πλὴν προσώπου καὶ χειρῶν τε ἄκρων καὶ ποδῶν· ταῦτα δέ οἵ ἐστι λίθου λευκοῦ. ἐνταῦθα ἔχει τιμὰς καὶ ὁ Σωσίπολις ἐν ἀριστερᾷ τῆς Τύχης, ἐν οἰκήματι οὐ μεγάλῳ. κατὰ δὲ ὄψιν ὀνείρατος γραφῇ μεμιμημένος[20] ἐστὶν ὁ θεός, παῖς μὲν ἡλικίαν, ἀμπέχεται δὲ χλαμύδα ποικίλην ὑπὸ[21] ἀστέρων, τῇ χειρὶ δὲ ἔχει τῇ ἑτέρᾳ τὸ κέρας τῆς

Quod si belli Troiani temporibus, uti ab Homero traditum est, auxilio Graecis venit Neptunus, non alienum a vero videri possit ex eiusdem poetae sententia Ditem etiam patrem Pylios ope sua adiutos voluisse. Elei igitur Summano de se bene merito deo, quique esset in Herculem animo infensissimo, aedem erexerunt, quam quotannis idcirco semel (uti mea fert opinio) recludunt, quod semel ad inferos patet hominibus via. (4) Suum est etiam apud Eleos Fortunae templum. In eius porticu eximia magnitudine signum dedicarunt, ligneum illud quidem, sed inauratum undique, praeter faciem tamen summasque manus et pedes. Hae enim partes e candido marmore sunt. Decreti etiam in modica cella ad Fortunae laevam Sosipolidi honores. Deus iste e viso per somnum oblato pictura est effictus. Aetate puerili est, chlamyde amictus varia et stellata;

15. στρατεῖαν Va, στρατιὰν Ag. — τῷ ὁμήρῳ MVbLb.

16. ἀπὸ τοῦ VabLa. Deinde εἶναι pro εἴη MVabPcLab.

17. οὖν φασὶ σφίσι Va, φασὶ in ὡς correctum videtur; ὡς et φασὶ saepissime confundi notum est.

18. τότε ἱερὸν Va. ἐποίησαν το ἱερὸν (sic) La; ἐποιήσαντο ἱερὸν Lb. Mox ὅτι εἶναι καὶ La.

19. Locus corruptus, fortasse mutilus. Lectionem receptam tuentur Am. AXKFCVb, qui tamen ἐστὶν omittit; proxime accedit La, qui γίνεται τοῖς δὲ ἠλ. κ. τύχ. ἐστὶν τὸ ἱερὸν habet; γίνεται καὶ Ἠλείοις τὸ ἱερὸν. ἐν MVaPcLb, quod recepit B post γίνεται lacunam indicans; γίνεται ὡς καὶ ἠλ. τὸ ἱερὸν Ag; γίνεται. 4. Ἠλείοις καὶ Τύχης ἱερόν ἐστιν· ἐν Smai.; γίνεται. 4. Καὶ Ἠλείοις Τύχης ἱερόν ἐστιν· ἐν Smin.

20. μεμημημένος Ag.

21. ποικίλιν ἀπὸ ἀστ. Va; ἀπὸ etiam M. — ἀμαλθαίας AXLab.

Ἀμαλθείας. (5) Καθότι[22] δὲ Ἠλείων ἡ πόλις πληθύει 5
μάλιστα ἀνθρώποις, κατὰ τοῦτο ἀνδριάς σφισιν ἀνδρὸς
οὐ[23] μείζων μεγάλου χαλκοῦς ἐστὶν, οὐκ ἔχων πω γένεια,
τόν τε ἕτερον τῶν ποδῶν ἐπιπλέκων τῷ ἑτέρῳ καὶ ταῖς χερ-
σὶν ἀμφοτέραις ἐπὶ δόρατι ἠρεισμένος·[24] ἐσθῆτα δὲ ἐρεᾶν
αὐτῷ καὶ ἀπὸ λίνου[25] τε καὶ βύσσου περιβάλλουσιν.
τοῦτο τὸ ἄγαλμα ἐλέγετο εἶναι Ποσειδῶνος, ἔχειν δὲ τὸ 6
ἀρχαῖον ἐπὶ Σαμικῷ τῷ ἐν[26] τῇ Τριφυλίᾳ τιμάς· μετα-
κομισθὲν δὲ ἐς τὴν Ἦλιν τιμῆς μὲν καὶ ἐς πλέον ἔτι[27]
ἥκει, Σατράπην δὲ καὶ οὐ Ποσειδῶνα ὄνομα αὐτῷ τί-
θενται, μετὰ[28] τὴν Πατρέων προσοίκησιν τὸ ὄνομα τοῦ
Σατράπου διδαχθέντες·[29] Κορύβαντός τε ἐπίκλησις ὁ
Σατράπης ἐστίν.

prae se gerit manu altera copiae cornu. (5) In celeberrima urbis parte signum ex aere erectum est, iuvenis nihilo magno homine procerior, facie impubi, pedem pede premens, utraque manu hastae innixus. Lanea eum veste, item lintea et byssina induunt: Neptunum esse autumant, qui quum ante in Samico Triphyliae coleretur, deportato Elidem signo vel maiore multo in honore esse coeperit. Satrapen tamen ipsum non Neptunum vocant, accepto scilicet a finitimis Patrensibus Satrapae nomine. Est vero Corybantis cognomen Satrapes.

22. καθότι BMVabPcLab; καθ' ὅ τι edd. rell. — πληθύνει Va; πληθείη, ύει supr. vers., Vb; πληθύη La.

23. εἰ μείζ. Va. — πῶ idem.

24. εἰρησμένος Va; cf. Lobeck ad Phryn. p. 33. — ἐρεᾶν Sylb. FC SB; ἐρέαν AXKVabAgLa; ἑτέραν MRLb; sed R marg. ἐρέαν.

25. λίνου SB; λινοῦ rell. edd. Lab. — περιβάλλουσιν MAg; περιβάλλουσι rell.

26. τε ἐν MVaAgLab.

27. ἔτι om. MVa.

28. μετὰ τὴν SBMVaLb; κατὰ τὴν edd. rell. VbPcAgLa. — πατρέων, λ sup. π, La.

29. διδαχθέντας, ες sup. vers., Vb. — ἐπικλησιν VaAgLa. Aptius fortasse Κορύβαντος δὲ ἐπίκλησις. „est vero“ Am. — ἐστίν Lb, ἐστί rell.

# CAPUT XXVI.

**De prisco theatro et Bacchi templo, de festo Thyiis dicto — templo Minervae in arce Eleorum — Cyllene, Eleorum navali, et Mercurii signo, fascino arrecto — gignentibus Eleorum agri, cultura serici apud Seres et Seria insula — Elidis et Achaiae finibus.**

*Θέατρον δὲ ἀρχαῖον*[1] *μεταξὺ τῆς ἀγορᾶς καὶ τοῦ Μηνίου, [τὸ θέατρόν τε]*[2] *καὶ ἱερόν ἐστι Διονύσου· τέχνη δὲ*[3] *τὸ ἄγαλμα Πραξιτέλους. Θεῶν δὲ ἐν τοῖς μάλιστα Διόνυσον σέβουσιν Ἠλεῖοι καὶ τὸν θεόν σφισιν ἐπιφοιτᾶν ἐς τῶν Θυίων τὴν ἑορτὴν λέγουσιν. ἀπέχει μέν γε τῆς πόλεως ὅσον*[4] *τε ὀκτὼ στάδια ἔνθα τὴν ἑορτὴν ἄγουσι Θύιον*[5] *ὀνομάζοντες· λέβητας δὲ ἀριθμὸν*[6] *τρεῖς ἐς οἴκημα ἐσκομίσαντες οἱ ἱερεῖς κατατίθενται κενούς,*
518 *παρόντων καὶ τῶν ἀστῶν καὶ ξένων*[7] *εἴ τύχοιεν ἐπιδημοῦντες· σφραγῖδας δὲ αὐτοί τε οἱ ἱερεῖς καὶ τῶν*[8] *ἄλ-*

Cap. XXVI. Inter forum et Menium theatrum est vetus cum templo Libero dedicatum; signum fecit Praxiteles. Deorum omnium unum maxime Liberum venerantur Elei, et eum sacri sui (quod Thyiorum nominant) ad eum locum (Thyion appellant) qui stadia ab urbe distat circiter octo, diem obire dictitant. Nam quum in sacello lagenas tres inanes sacerdotes deponant praesentibus et civibus et peregrinis si quos forte adesse contigerit, mox vero templi fores vel sacerdotes ipsi, vel alii quibus curae sit huius rei periculum facere, suo quis-

Cap. XXVI. 1. *ἀχαῖον* La. — Pro *Μηνίου* S suspicatur *Πηνειοῦ*; „Dianium" Am. Cf. ad V, 1, 7.

2. *τὸ θέατρόν τε* uncis inclusimus suadente Cor., nisi fortasse inter *Μηνίου* et *τὸ θέατρον* lacunae signum collocare malis.

3. *δὲ* inseruimus e Va. — *πρασιτέλους* Va.

4. *μέν τε τῆς π. ὅσων* Ag; *ὅσον ὀκτώ*, sine *τε*, La. — *ἄγουσιν* AXKF.

5. *Θύιον* Ag; *Θυῖον* CSmai.; *Θυίαν* Am. AXKFMVabLab; *Θυῖαν* B; *Θυῖα* Sylb. Smin.; probat K. Cf. Theopomp. ap. Athenaeum p. 34. a.

6. *ἀριθμὸν* om. M.

7. *παρόντ. καὶ τῶν ἀστῶν καὶ ξέν.* CSmai. BPcLa; *παρ. καὶ τῶν αὐτῶν καὶ ξέν.* Lb; *παρ. καὶ τῶν αὐτῶν ξέν.* MVaAgPd (ex hoc de *καὶ* ante *ξέν.* omisso nihil enotavit C); *παρ. καὶ τῶν πολιτῶν καὶ ξέν.* AXKFSmin. Vb. — *οἳ τύχ.* coni. C. — *σφραγίδας* AXMVabLa.

8. *καὶ τῷ* M. — *ὅσοις ἂν* emendavit K, receperunt FCSB, idem latet in lectione codicis Va, *ὅσοι ἐὰν* (OCOICAN et OCOIEAN); *ὅσοις ἐὰν* AXKMVbPcAgLab.

λων ὅσοις ἂν κατὰ γνώμην[9] ἢ ταῖς θύραις τοῦ οἰκήμα-
τος ἐπιβάλλουσιν. ἐς δὲ τὴν ἐπιοῦσαν τά τε σημεῖα ἐπι- 2
γνῶναι πάρεστί σφισι καὶ ἐσελθόντες ἐς τὸ οἴκημα εὑρί-
σκουσιν[10] οἴνου πεπλησμένους τοὺς λέβητας. ταῦτα
Ἠλείων τε οἱ δοκιμώτατοι ἄνδρες, σὺν αὐτοῖς δὲ καὶ
ξένοι κατώμνυντο[11] ἔχειν κατὰ τὰ εἰρημένα, ἐπεὶ αὐτός
γε[12] οὐκ ἐς καιρὸν ἀφικόμην τῆς ἑορτῆς. λέγουσι δὲ
καὶ Ἄνδριοι[13] παρὰ ἔτος σφίσιν ἐς τοῦ[14] Διονύσου τὴν
ἑορτὴν ῥεῖν οἶνον αὐτόματον ἐκ τοῦ ἱεροῦ. Εἰ πιστεύειν
χρὴ ταῦτα Ἕλλησιν, ἀποδέχοιτο[15] ἄν τις τῷ λόγῳ γε τῷ
αὐτῷ καὶ ὅσα Αἰθίοπες οἱ ὑπὲρ Συήνης ἐς τοῦ ἡλίου[16]
τὴν τράπεζαν λέγουσιν. (2) Ἐν ἀκροπόλει δὲ τῇ Ἠλείων 3
ἐστὶν ἱερὸν Ἀθηνᾶς, ἐλέφαντος δὲ τὸ ἄγαλμα καὶ χρυσοῦ.
εἶναι μὲν δὴ[17] Φειδίου φασὶν αὐτήν, πεποίηται δὲ ἀλεκ-
τρυὼν ἐπὶ τῷ κράνει, ὅτι οὗτοι προχειρότατα[18] ἔχου-

que obsignant annulo; postero vero die agnitis signis ingressi vini plenas reperiunt lagenas. Haec uti a me commemorata sunt ex Eleis fide spectatissima viri et aliquot item exteri ita se habere mihi sancte deierarunt. Neque enim res tulit ut ipse adessem, quum solenne illud celebraretur. Ferunt etiam Andrii apud se per festos Liberi Patris dies vinum quotannis sponte sua e templo manare. Quod si haec Graecis ut credamus adduci possumus, nihil iam prohibet quin et quaecunque Aethiopes, qui supra Syenen sunt, de Solis mensa fabulantur vera putemus. (2) In arce Elidis Minervae fanum est signumque auro et ebore fabricatum; Phidiae aiunt opus fuisse. Insistit deae cassidi gallus gallinaceus, quod (opinor) haec est avis

9. καταγνώμην AXK. — ἐπιβάλλουσι. ἐς Ag; ἐπιβάλουσιν La.

10. εὑρήσκουσιν Va. — δοκεῖ μώτατοι La.

11. κατώκνουντο M; κατόμνυντο Vb.

12. αὐτός τε Ag. Mox εἴς καιρὸν edd.; εἴς καυρὸν La.

13. ἀνδρεῖοι MVaLbAg; ἄνδρειοι La.

14. ἐς τὴν διονύσου τὴν ἑορτ. Vb.

15. Εἰ πιστ. χρὴ ταῦτα Ἕλλησιν ἀποδ. Am. CSmai.; Πιστεύειν χρὴ ταῦτα Ἕλλησι, καὶ ἀποδ. rell. edd. Vb; πιστ. χρὴ ταῦτα Ἕλλησιν M Ag, et εἰ ἀποδ. MVaPcAgRLb (R marg. ἄλλ. καί); ἕλλησιν ἀποδέχοι τις ἄν τις La. Haud dubie εἰ in contextis omissum, margini adscriptum et loco alieno insertum est. — λόγῳ γε Cor. Smai.; λόγ. τε edd. rell. codd.; etiam praecedens τῷ delere vult Cor.

16. ἠλείου A; Ἡλίου XKFC. — ἐς τὴν τοῦ ἡλ. τὴν τρ. La.

17. μὲν δὴ B; μὲν οὖν AXKVb; μέν τοι FCSMVaPcAgLab. Tum αὐτὸν La.

18. προχειρόμετα Vb. — ἀλεκτρυῶνες Ag; οἱ λεκτρύονες La.

σιν ἐς μάχας οἱ ἀλεκτρυόνες· δύναιτο δ' ἂν καὶ Ἀθηνᾶς
4 τῆς Ἐργάνης ἱερὸς ὁ[19] ὄρνις νομίζεσθαι. (3) Κυλλήνη δὲ σταδίους μὲν εἴκοσιν Ἤλιδος καὶ ἑκατὸν ἀφέστηκε,[20] κεῖται δὲ τετραμμένη τε πρὸς Σικελίαν καὶ ὅρμον παρεχομένη ναυσὶν ἐπιτήδειον· ἐπίνειον δὲ οὖσα Ἠλείων ἀπὸ ἀνδρὸς[21] Ἀρκάδος τὸ ὄνομα εἴληφεν. Κυλλήνης δὲ ἐν μὲν Ἠλείων καταλόγῳ λόγον οὐδένα Ὅμηρος ἐποιήσατο, ἐν δὲ ἔπεσι τοῖς ὕστερον δεδήλωκεν ὡς πόλισμα οὖσαν
5 καὶ τὴν Κυλλήνην ἐπίσταται·

Πουλυδάμας δ' Ὦτον[22] Κυλλήνιον ἐξενάριξεν,
519 Φυλείδεω ἕταρον, μεγαθύμων ἀρχὸν Ἐπειῶν.

Θεῶν[23] δὲ ἱερὰ ἐν Κυλλήνῃ Ἀσκληπιοῦ, τὸ δὲ Ἀφροδίτης ἐστί· τοῦ Ἑρμοῦ δὲ τὸ ἄγαλμα, ὃν οἱ ταύτῃ περισσῶς σέβουσιν, ὀρθόν ἐστιν αἰδοῖον[24] ἐπὶ τοῦ βάθρου.
6 (4) Ἡ δὲ Ἠλεία χώρα τά τε ἄλλα ἐστὶν ἐς καρποὺς καὶ

omnium pugnacissima, vel fortasse quod Minervae cognomento Erganae sacra est. (3) Ab Elide Cyllenen usque spatium interest stadium CXX. Sita est Cyllene contra Siciliam, maritimis navium appulsibus opportuno praedita portu. Navale ea est Eleorum, ab Arcade vero homine sumsit nomen. Et in delectu quidem Graecorum eam plane praetermisit Homerus, verum in operis progressu non dissimulavit scire se Cyllenen oppidum esse:

Pulydamas Otum misit Cyllenion orco,
Phylidae socium qui fortes duxit Epeos.

Cyllenae duo sunt deorum delubra, Aesculapii unum, Veneris alterum. Mercurii quidem signum quem egregie incolae eorum finium venerantur, erectum est super basi fascinum. (4) Est enimvero Eleorum ager et caetera ferax et byssum educat feli-

19. ὁ om. Vb.
20. ἀφέστηκεν Ag; seq. ἐπίνειον om. La.
21. ἀπὸ ἀνδρὸς — μὲν Ἠλείων om. Va. — εἴληφεν BPcAg; εἴληφε edd. rell. Lab. Mox ὕστερον, οις sup. vers., La.
22. δ' ὃς τὸν AMVabPcAgLab. — ἐξανάριζεν Lb; ἐξανάριξεν Vb. — φιλήδεα Va; φιλείδεω VbLb. — ἑτάρον A; ἑτάρον XKLb; ἑτᾶρον Vb; ἑτᾶρον M; ἑτάρων Ag. — ἀρχὴν Vb. — ἐπιῶν Ag.
23. θεά δὲ (ά ambig.) Va.
24. ὀρθόν ἐστι τὸ αἰδοῖον ἔχον Cor., quod Am. legisse videtur, nec improbat S. At nihil esse mutandum probant verba sequentia ἐπὶ τοῦ βάθρου, e quibus S articulum expungere vult. Cf. Lucian. Iupit. Trag. c. 42. et Artemidor. I, 44. p. 66 (41).

τὴν βύσσον οὐχ ἥκιστα[25] ἐκτρέφειν ἀγαθή. τὴν μὲν δὴ κανναβίδα καὶ λίνον καὶ τὴν βύσσον σπείρουσιν ὅσοις ἡ γῆ[26] τρέφειν ἐστὶν ἐπιτήδειος· οἱ μίτοι δὲ ἀφ' ὧν[27] τὰς ἐσθῆτας ποιοῦσιν οἱ Σῆρες, ἀπὸ οὐδενὸς φλοιοῦ,[28] τρόπον δὲ ἕτερον γίνονται τοιόνδε. ἔστιν ἐν τῇ γῇ[29] ζωΰφιόν σφισιν ὃν σῆρα καλοῦσιν Ἕλληνες, ὑπὸ[30] δὲ αὐτῶν Σηρῶν ἄλλο πού τι καὶ οὐ σὴρ ὀνομάζεται. μέ- 7
γεθος μέν ἐστιν αὐτοῦ διπλάσιον ἢ κανθάρων ὁ μέγιστος, τὰ δὲ ἄλλα εἴκασται[31] τοῖς ἀράχναις οἳ ὑπὸ τοῖς δένδρεσιν ὑφαίνουσι, καὶ δὴ καὶ[32] πόδας ἀριθμὸν ὀκτὼ κατὰ ταὐτὰ ἔχει[33] τοῖς ἀράχναις. ταῦτα τὰ[34] ζῷα τρέφουσιν οἱ Σῆρες οἴκους κατασκευασάμενοι χειμῶνός τε καὶ θέρους ὥρᾳ ἐπιτηδείους. τὸ δὲ ἔργον τῶν ζῴων κλῶσμα εὑρίσκεται λεπτὸν τοῖς ποσὶν αὐτῶν περιειλιγμένον.[35] τρέφουσι δὲ αὐτὰ ἐπὶ μὲν τέσσαρα ἔτη παρέχοντες τρο- 8
φὴν σφισιν ἔλυμον, πέμπτῳ[36] δὲ (οὐ γὰρ πρόσω βιωσό-

cissime. Cannabem quidem, linum et byssum serunt qui idoneum ad haec ferenda solum colunt. Sedenim quae fila ad textrinam usurpant Seres, ea nulla e stirpe sunt. Nascitur in eorum terra vermis, quem Serem Graeci, ipsi Seres longe alio appellant nomine. Magnitudine est id insectum dupla maximi scarabaei, caetera simile est araneis quae sub arboribus texunt. Sed et pedes habet octo perinde ut araneae. Haec animalcula nutriunt Seres in domiciliis aestivo pariter et hiberno tempore ad hanc rem accommodatis. Opus quod faciunt filum est tenuissimum pedibus eorum circumvolutum. Annos ferme quatuor panico alitur, quinto demum (neque enim diutius victu-

25. οὐχήκιστα M, ut solet. — ἀγαθὴν Vb. — καναβίδα idem.

26. ἡ γῇ M. — στρέφειν La; seq. ἐστὶν om. MVa.

27. ἀφ' οὗ Vab; in hoc vero correctum in ἀφ' ὧν. — αἰσθῆτας Ag.

28. φυτοῦ pro φλοιοῦ legisse Amasaeum suspicatur Sylb. — τρόποις, expuncto ι, La. — γίγνονται AgLa.

29. ἐν τῇ χώρᾳ ζωΰφ. Vb; etiam marg. R χώρα; tum ζωήφιον La Ag.

30. ὑπὸ δὲ Pors. CSmai. BPcd Lab; ἀπὸ δὲ edd. rell. MVab. — τῶν αὐτῶν Va.

31. εἴργασται Ag. — τοῖς ἀράχνης La. Tum οἱ ἐπὶ Cor. — ὑφαίνουσιν Ag. — ταῖς δένδρ. VbM, in hoc οἱ sup. αἱ.

32. καὶ om. Va. — κατὰ ταῦτα AVabAgLab.

33. ἔχειν τοῖς (ν expunct.) Vb.

34. τὰ om. Va. — ταῦτα τὰ ζῷα om. La. — σκῶσμα La.

35. περιειλημένον Vb.

36. πέμπτον δὲ La. — ἴσασιν M Ag. — ἡδύστη Lb.

μενα ἴσασι) κάλαμον διδόασιν ἐσθίειν χλωρόν. ἡ δέ ἐστιν ἡδίστη τροφὴ πασῶν τῷ ζῴῳ,[37] καὶ ἐμφορηθὲν τοῦ καλάμου ῥήγνυταί τε ὑπὸ πλησμονῆς καὶ ἀποθανόντος οὕτω τὸ πολὺ τῆς ἀρπεδόνης εὑρίσκουσιν ἔνδον. γινώσκεται[38] δὲ ἡ Σηρία νῆσος ἐν μυχῷ θαλάσσης[39] κειμένη
9 τῆς ἐρυθρᾶς. ἤκουσα δὲ καὶ ὡς οὐχ[40] ἡ ἐρυθρά, ποταμὸς δὲ ὃν Σῆρα ὀνομάζουσιν, οὗτός ἐστιν ὁ ποιῶν νῆσον αὐτήν, ὥσπερ καὶ Αἰγύπτου τὸ Δέλτα ὑπὸ τοῦ
520 Νείλου καὶ οὐχ[41] ὑπὸ μιᾶς περιέχεσθαι θαλάσσης· τοιαύτην ἑτέραν καὶ τὴν Σηρίαν[42] νῆσον εἶναι. οὗτοι μὲν δὴ τοῦ Αἰθιόπων γένους αὐτοί τε εἰσὶν οἱ Σῆρες καὶ ὅσοι τὰς προσεχεῖς αὐτῇ νέμονται νήσους, Ἄβασαν[43] καὶ Σακαίαν· οἱ δὲ αὐτοὺς οὐκ Αἰθίοπας, Σκύθας δὲ ἀναμεμιγμένους Ἰνδοῖς[44] φασὶν εἶναι. ταῦτα μὲν δὴ οὕτω λέγεται.

10 (5) Ἀνδρὶ δὲ ἐς Ἀχαΐαν ἰόντι ἐξ Ἤλιδος ἑπτὰ καὶ πεντήκοντα στάδιοι καὶ ἑκατὸν ἐπὶ ποταμόν εἰσι Λάρισον,

rum sciunt) viridem apponunt arundinem, quo pabulo bestiola illa omnium maxime delectatur; eo saturum sagina rumpitur. Educunt inde e visceribus plura staminum volumina. Satis constat Seriam insulam sitam in rubri maris recessu. Audivi vero qui dicerent, non mare rubrum, sed Serem amnem insulam illam facere, quomodo et Delta in Aegypto a Nilo, non ab ullo mari circumdari. Talem insulam esse etiam Seriam. Aethiopici generis sunt et hi Seres quos dixi, et quotquot contiguas insulas tenent Abasam et Sacaeam; etsi non desunt qui non Aethiopas sed Scythas Indis permistos esse eos dicant. Sed haec hactenus. (5) Qua vero in Achaiam ex Elide iter est stadium circiter centum et quinquaginta septem via ad fluvium

37. τῶν ζώων MVabAgLab. — ῥήγνυταί γε Vb. — ἀρπειδόνος Ag Lb (η sup. ο, Ag); ἀρπειδόης, ν inter ο et η sup. vers., La.

38. γινώσκεται Smai. MVabLb; γιγνώσκ. edd. rell. La.

39. ἐν χειμῷ θαλ. MVa; ἐν χυμῷ Lb.

40. καὶ οὐχ ὡς Vb. — νῆσος αὐτήν La.

41. καὶ οὐδὲ MVabPcAgLab. — περὶ pro ὑπὸ Pc. — περιέχεται malit F.

42. δηρίαν MLb; συρίαν Ag.

43. ἄβασσαν Vb; ἔβασσαν Ag.

44. ἰνδιοῖς VbM (sec. S; in exc. nostris ἰνδίοις).

καὶ Ἠλείοις ὅροι[45] πρὸς Ἀχαιοὺς τῆς χώρας ὁ ποταμός ἐστιν ἐφ᾽ ἡμῶν ὁ Λάρισος· τὰ δὲ ἔτι ἀρχαιότερα ἄκρα σφίσι πρὸς[46] θαλάσσῃ ὅρος ἦν ὁ Ἄραξος.

Larisum ducit. Et hi quidem fines aetate nostra sunt inter Achaicum et Eliacum agrum, Larisus nimirum amnis. Priscis enim temporibus utriusque gentis terminus fuit Araxus promontorium.

45. ὅρη πρὸς Ag.

46. πρὸ θαλ. VabLab. — ὅρος Cor. SBVabPcAg; ὅρος rell. — Sequitur in LabVaAg: ἡ δὲ τῆς Ἠλείας μέση (μέσα Va) καὶ Σικυωνίας καθήκουσα μὲν ἐπὶ τὴν πρὸς ἕω θάλασσαν. In Vb: ὁ δὲ τῆς ἠλ. μέσση — θάλασσαν; eadem in principio libri sequentis repetunt. In Ag: τέλος τοῦ δευτέρου τῶν ἠλιακῶν λόγου ς.

# ΠΑΥΣΑΝΙΟΥ

# ΕΛΛΑΔΟΣ ΠΕΡΙΗΓΗΣΕΩΣ

## ΑΧΑΙΚΑ.

# ΑΧΑΙΚΑ SEU LIB. VII.

## CAPUT I.

De Achaïae situ et prisco nomine Aegialo — Aegiali primis regibus, Xutho, Ione — Achaei, a Doriensibus eiecti, Tisameno duce in Aegialum profecti Ionas expellunt — Iones ab Atheniensibus recipiuntur.

Ἡ δὲ τῆς Ἠλείας μέση[1] καὶ Σικυωνίας καθήκουσα μὲν 521
ἐπὶ τὴν πρὸς ἕω θάλασσαν, Ἀχαΐαν[2] δὲ ὄνομα τὸ ἐφ' ἡμῶν ἔχουσα ἀπὸ τῶν ἐνοικούντων, αὐτή τε[3] Αἰγιαλὸς τὸ ἀρχαῖον καὶ οἱ νεμόμενοι[4] τὴν γῆν ἐκαλοῦντο Αἰγιαλεῖς, λόγῳ[5] μὲν τῷ Σικυωνίων ἀπὸ Αἰγιαλέως βασιλεύσαντος ἐν τῇ νῦν[6] Σικυωνίᾳ, εἰσὶ δὲ οἵ φασιν ἀπὸ τῆς χώρας,
εἶναι γὰρ τὰ πολλὰ αὐτῆς αἰγιαλόν. (2) Χρόνῳ[7] δὲ ὕστε- 2

Cap. I. Quae terra inter Eleos et Sicyonios media ad mare Orientem versus excurrit, Achaia hoc tempore dicitur ab Achaeis eam incolentibus; prisco nomine Aegialus appellabatur, et incolae Aegialenses nominati ab Aegialeo Sicyoniae rege, ut ipsi dicunt Sicyonii. Alii a regionis situ, quae aegiali fere tota (hoc est litoris) formam habet. (2) Postea vero Hel-

Tit. Ἠλιακῶν β̄ον καὶ Ἀχαϊκῶν ᾱον. Pc. Παυσανίου ἑλλάδος ἀχαϊκῶν λόγος ζς Ag. ἀρκαικά (sic) La. ἀχαϊκῶν Lb.

Cap. I. 1. Μέσση Vb; μέση A. 2. Ἀχαΐαν BVaPc; Ἀχαΐα rell. edd. MVbAgLabAg.

3. αὐτή τε BVaPc; αὕτη τε rell. edd. MVbAgLab; Αἰγιαλὸς — ἐκαλοῦντο om. La.

4. νεμώμενοι Vb.

5. λέγω Vb. — σικυωνίῳ Lb.

6. νῦν om. Va. — εἰσὶ δ' οἵ Lb.

7. χρόνου MLb; in Va ambiguum est, utrum χρόνον an χρόνου sit.

*ρον ἀποθανόντος Ἕλληνος Ξοῦθον οἱ λοιποὶ τοῦ Ἕλληνος παῖδες διώκουσιν ἐκ Θεσσαλίας,*[8] *ἐπενεγκόντες αἰτίαν ὡς ἰδίᾳ χρήματα ὑφελόμενος ἔχοι*[9] *τῶν πατρῴων. ὁ δὲ ἐς Ἀθήνας φυγὼν θυγατέρα Ἐρεχθέως ἠξιώθη*[10] *λαβεῖν, καὶ παῖδας Ἀχαιὸν καὶ Ἴωνα ἔσχεν ἐξ αὐτῆς. ἀποθανόντος δὲ Ἐρεχθέως τοῖς παισὶν αὐτοῦ*[11] *δικαστὴς Ξοῦθος ἐγένετο ὑπὲρ τῆς ἀρχῆς, καὶ (ἔγνω γὰρ τὸν πρεσβύτατον Κέκροπα βασιλέα εἶναι) οἱ λοιποὶ τοῦ Ἐρεχθέως παῖδες*[12]
3 *ἐξελαύνουσιν ἐκ τῆς χώρας αὐτόν· ἀφικομένῳ δὲ ἐς τὸν Αἰγιαλὸν καὶ οἰκήσαντι αὐτῷ μὲν ἐγένετο ἐνταῦθα ἡ τελευτή, τῶν δέ οἱ παίδων Ἀχαιὸς μὲν ἐκ τοῦ Αἰγιαλοῦ παραλαβὼν καὶ ἐξ Ἀθηνῶν ἐπικούρους κατῆλθεν ἐς Θεσσαλίαν καὶ ἔσχε τὴν πατρῴαν ἀρχήν, Ἴωνι δὲ ἐπὶ*[13] *τοὺς Αἰγιαλεῖς στρατιὰν καὶ ἐπὶ Σελινοῦντα*[14] *τὸν βασιλέα αὐτῶν*
522 *ἀθροίζοντι ἀγγέλους ἔπεμπεν ὁ Σελινοῦς, τὴν θυγατέρα*[15] *Ἑλίκην, ἣ μόνη οἱ παῖς ἦν, γυναῖκα αὐτῷ διδοὺς καὶ αὐ-*
4 *τὸν Ἴωνα ἐπὶ τῇ ἀρχῇ παῖδα ποιούμενος. καί πως ταῦτα*

lene mortuo Xuthum reliqui Hellenis filii e Thessalia eiiciunt, eo nempe crimine quod paternae sibi solus pecuniae partem sibi soli vindicasset. Is quum Athenas confugisset ab Erechtheo dignus est habitus cui filiam desponderet; e qua Achaeus et Ion nati. Mox quum e vita discessisset Erechtheus, eius filiis de regno dissidentibus disceptator Xuthus fuit; qui quum Cecropi natu maximo regnum adiudicasset eum alii Erechthei filii e finibus exegerunt. Quare quum in Aegialum migrasset ibique sedem constituisset suam, ibidem etiam e vita excessit. E filiis Achaeus assumtis ex Aegialo et Athenis auxiliis in Thessaliam veniens paternum recepit imperium. At Ion quum bellum esset Aegialensibus et eorum regi Selinunti illaturus, per legatos ei Selinus unicam filiam Helicen despondit sibique eum adoptionis iure filium fecit. Quod quum Ioni ex animi sententia evenisset,

8. *ἐκ θαλασσίας* Ag.

9. *ἔχει* VaAgLa; *ἔχει* Vb, ο sup. ε.

10. *ἠξιώθη — Ἐρεχθέως* om. M Lb; *ἔρχεσθαι* pro *Ἐρεχθέως* La, et mox *ἐρεσθέως* id.

11. *παισὶν αὐτοῦ αὐτοῦ δικ.* Va. Mox *ὑπὸ τῆς* VaM.

12. *παῖδες — οἰκήσαντι* om. M. *οἰκήσαντα* Vb. Tum *οὕτω* pro *αὐτῷ* Va.

13. *δὲ ἐπὶ* SVbMLab; *δ' ἐπὶ* rell.

14. *σεληνοῦντα* Vb; mox idem *ὁ σεληνοῦς* (ι sup. η) et *σεληνοῦντος*; Ag *ὁ σεληνοὺς*; Lb *ὁ σελινοὺς*. Mox *αὐτὸν ἀθρ.* Va. — *ἔμπεσεν* La.

15. *θυγατέραν* Va. — *ἡ μόνη οἱ παῖδες ἦν* Vab; e M *ἡ μόνη — παῖδες ἦν* profert S; excerpta nostra exhibent *ἡ μόνη παιδὶ*; *μόνη* etiam A; *ἡ μόνη* Lb.

τῷ Ἴωνι[16] ἐγένετο οὐκ ἄπο γνώμης, καὶ τῶν Αἰγιαλέων τὴν ἀρχὴν Ἴων ἔσχεν ἀποθανόντος[17] Σελινοῦντος, καὶ Ἑλίκην τε ἀπὸ τῆς γυναικὸς ᾤκισεν[18] ἐν τῷ Αἰγιαλῷ πόλιν καὶ τοὺς ἀνθρώπους ἐκάλεσεν Ἴωνας ἀφ' αὑτοῦ. τοῦτο οὐ μεταβολὴ τοῦ ὀνόματος, προσθήκη δέ σφισιν ἐγένετο· Αἰγιαλεῖς γὰρ ἐκαλοῦντο Ἴωνες· τῇ χώρᾳ δὲ ἔτι καὶ μᾶλλον διέμεινεν[19] ὄνομα τὸ ἐξ ἀρχῆς. Ὁμήρῳ γοῦν ἐν καταλόγῳ τῶν μετὰ Ἀγαμέμνονος ἐξήρκεσε[20] τὸ ἀρχαῖον δηλῶσαι τῆς γῆς ὄνομα·

Αἰγιαλόν τ' ἀνὰ πάντα[21] καὶ ἀμφ' Ἑλίκην εὐρεῖαν.

τότε δὲ ἐπὶ τῆς Ἴωνος[22] βασιλείας πολεμησάντων Ἀθηναίοις[23] Ἐλευσινίων καὶ Ἀθηναίων Ἴωνα ἐπαγομένων[24] ἐπὶ ἡγεμονίᾳ τοῦ πολέμου τὸν μὲν ἐν τῇ Ἀττικῇ τὸ χρεὼν ἐπιλαμβάνει, καὶ Ἴωνος ἐν τῷ δήμῳ μνῆμα τῷ Ποταμίων[25] ἐστίν· οἱ δὲ ἀπόγονοι τοῦ Ἴωνος[26] τὸ Ἰώνων ἔσχον κρά-

et Selinunti in imperium successit et a se conditam urbem uxoris suae de nomine Helicen nominavit: gentem ipsam a se Ionas nuncupavit. Quanquam istud eis non mutationem nominis attulit, sed additamentum. Vocabantur enim Aegialenses Iones. Magis tamen regioni priscum nomen mansit, quod Homerus in delectu Agamemnonis copiarum versu illo testatum reliquit:

Per totum Aegialon circumque Helicen spatiosam.

Ionem Aegialensibus imperantem Athenienses belli contra Eleusinios gerendi ducem delegerunt. Qui quum diem in Attica obisset suum, in Potamiorum curia (ubi eius exstat monumentum) sepultus est. Mansit penes Ionis posteros imperium, us-

16. Ἴωνις A. Tum ἄπο Am. AXSBPc(?)Ag; ἀπὸ KFCVabM(?)Lb, οὐκαπογνώμης (sic) La.

17. ἀποθανοῦντος Ag.

18. ᾤκησεν Vb. — Mox ἀφ' ἑαυτοῦ Lb.

19. διέμεινεν ὄνομα τὸ ἐξ ἀρχῆς FCSBPcVabMAgLb; τὸ om. A; διέμεινε τὸ ὄν. ἐξ. XK; διέμεινον ὄν. τὸ ἐξ La.

20. ἐξήρκεσαι Vb.

21. ἂν ἅπαντα Pc; ἀνάπαντα Lb; ἀναπάντα Va. ἀνάπαν LaAg. [Il. β, 575]. Tum εὐρίαν M (εὐριὰν sec. S).

22. Ἰώνων MAgLab; in La ος super ων. —

23. θηβαίοις pro Ἀθηναίοις RPcAgLbM (sec. exc. nostra). In R ad marg. Ἀθην.; tum καὶ θηβαίων pro καὶ Ἀθηναίων VaM (sec. S.).

24. Ἴωνα ἐπαγομένων om. Vb; „malim ἐπαγαγομένων." B. Mox ἡγεμόνα VaM.

25. μνῆμα τῷ Ποταμίων SB; μν. τὸ Ποτ. MPcVabAgLab, articulum om. AXKFC.

26. τούτου τοῦ Ἴωνος Va; tum ἔσχεν Ag.

*τος, ἐς ὃ ὑπ' Ἀχαιῶν ἐξέπεσον καὶ αὐτοὶ καὶ ὁ δῆμος. (3) Τοῖς δὲ Ἀχαιοῖς τηνικαῦτα ὑπῆρξε καὶ αὐτοῖς ἐκ Λα-*
6 *κεδαίμονος καὶ Ἄργους ὑπὸ*[27] *Δωριέων ἐξεληλάσθαι. τὰ δὲ ἐς Ἴωνας καὶ Ἀχαιοὺς ὁπόσα ἐπράχθη σφίσιν ἐπ' ἀλλήλους,*[28] *ἐπέξεισιν αὐτίκα ὁ λόγος μοι προδιηγησαμένῳ καθ' ἥντινα αἰτίαν τοῖς Λακεδαίμονα*[29] *οἰκοῦσι καὶ Ἄργος πρὸ τῆς τῶν*[30] *Δωριέων καθόδου μόνοις Πελοποννησίων ὑπῆρξεν*[31] *Ἀχαιοῖς καλεῖσθαι. Ἄρχανδρος Ἀχαιοῦ καὶ Ἀρχιτέλης ἐς Ἄργος ἀφίκοντο ἐκ τῆς Φθιώτιδος, ἐλθόντες δὲ ἐγένοντο Δαναοῦ γαμβροί, καὶ Αὐτομάτην*[32] *μὲν Ἀρχιτέλης, Σκαιὰν δὲ ἔλαβεν Ἄρχανδρος. δηλοῦσι*[33] *δὲ ἐν Ἄργει*
523 7 *καταμείναντες οὐχ ἥκιστα*[34] *ἐν τῷδε· Μετανάστην γὰρ τῷ παιδὶ ὄνομα ἔθετο Ἄρχανδρος. δυνηθέντων δὲ ἔν τε Ἄργει καὶ Λακεδαίμονι τῶν Ἀχαιοῦ παίδων τοὺς ἀνθρώπους τοὺς*[35] *ἐνταῦθα ἐξενίκησεν Ἀχαιοὺς κληθῆναι. τοῦτο μέν σφισιν ὄνομα ἦν ἐν κοινῷ, Δαναοὶ*[36] *δὲ Ἀργείοις ἰδίᾳ. τότε δὲ ὑπὸ Δωριέων ἐκπεπτωκότες ἔκ τε Ἄργους καὶ ἐκ*

quedum ab Achaeis, quos et ipsos Lacedaemone tunc et Argis Dorienses exegerant, regno spoliati cum universo populo profugerunt. (3) Quae autem inter Ionas et Achaeos gesta sint bella, mox exponam, quum docuero quae res effecerit, ut soli Lacedaemonii et Argivi ante Doriensium reditum ex omnibus Peloponnesi incolis Achaei sint appellati. Archander et Architeles Achaei filii e Phthiotide Argos commigrarunt. Iis Danaus filias duas nuptum dedit, Architeli Automaten, Scaean Archandro. Et Argos quidem illos mansisse argumento esse potest, quod filio Archander nomen imposuit Metanastae [quod perinde est ac si dixeris qui patria relicta in aliam terram migravit]. Confirmato autem imperio obtinuit usus, ut ab Achaei liberis communi nomine Achaei tam Lacedaemonii quam Argivi, proprio Danai soli Argivi appellarentur. Mox iidem a Doriensibus Argis et Lacedaemone pulsi

27. *ἀπὸ δωρ.* Va. Deinde *ἐξεληλάσθαι* B; *ἐξηλάσθαι* rell. cdd. MVabAgPcLab.

28. *ἐπ' ἀλλήλοις* Va; *ἐς ἀλλήλους* Vb.

29. *τοῖς λακεδαιμονίοις οἰκ.* Va; *οἰκοῦσιν* Ag.

30. *τῶν* om. Va.

31. *ὑπῆρξεν* om. MAgLb; *ὑπῆρχεν* La. Tum *ἀρχαιαῖς* M; *ἀρχαιοῖς* Vb. — *καθεῖσθαι* La; seq. *καὶ* id. habet supr. vers.

32. *Αὐτονόμην* Am. Deinde *Σκιὰν* VaMLb.

33. *δηλοῦσι — Ἄρχανδρος* om. Va. *δὲ οἱ ἐν Ἄργ.* Cor.

34. *οὐχ ἥκιστα* M; *οὐχ* om. Goldh. Tum *τῷ δὲ* A.

35. *ἀνθρ. τοὺς ἐντ.* BPcVab(?) AgLab; *τοὺς* om. rell. edd. M(?).

36. *Δαναυοὶ* vitium propagatum per AXK. — *ὁ* post *Τισαμενός* om. Lb.

*Λακεδαίμονος ἐπεκηρυκεύοντο Ἴωσιν αὐτοί τε καὶ ὁ βασιλεὺς Τισαμενὸς ὁ Ὀρέστου γενέσθαι σύνοικοί σφισιν ἄνευ πολέμου. τῶν δὲ Ἰώνων τοὺς βασιλέας ὑπῄει δέος, μὴ Ἀχαιῶν ἀναμιχθέντων αὐτοῖς Τισαμενὸν ἐν κοινῷ βασιλέα ἕλωνται κατά τε ἀνδραγαθίαν καὶ γένους δόξαν· Ἰώνων* 8
*δὲ οὐ προσεμένων*[37] *τοὺς Ἀχαιῶν λόγους ἀλλὰ ἐπεξελθόντων σὺν ὅπλοις, Τισαμενὸς μὲν ἔπεσεν ἐν τῇ μάχῃ, Ἴωνας δὲ Ἀχαιοὶ κρατήσαντες ἐπολιόρκουν καταπεφευγότας ἐς Ἑλίκην, καὶ ὕστερον ἀφιᾶσιν ἀπελθεῖν ὑποσπόνδους. Τισαμενοῦ δὲ τὸν νεκρὸν Ἀχαιῶν ἐν Ἑλίκῃ θαψάντων ὕστερον χρόνῳ Λακεδαιμόνιοι τοῦ ἐν Δελφοῖς*[38] *σφίσιν ἀνειπόντος χρηστηρίου κομίζουσι*[39] *τὰ ὀστᾶ ἐς Σπάρτην, καὶ ἦν καὶ*[40] *ἐς ἐμὲ ἔτι αὐτῷ τάφος ἔνθα τὰ δεῖπνα Λακεδαιμονίοις ἐστὶ τὰ Φειδίτια καλούμενα.* (4) *Ἴωνας δὲ ἀφικομένους ἐς τὴν Ἀττικὴν Ἀθηναῖοι καὶ ὁ βασιλεὺς αὐτῶν Μέλανθος Ἀνδροπόμπου*[41] *συνοίκους ἐξεδέξαντο, Ἰωνός τε δὴ ἕνεκα καὶ ἔργων ἃ ἔπραξε πολεμαρχῶν Ἀθηναίοις.*[42] *λέγεται δὲ [καὶ]*[43] *ὡς ἐν ὑπονοίᾳ ποιούμενοι*

missso caduceatore ab Ionibus petierunt, ut sibi et regi suo Tisameno Orestis filio incolendi ius sine bello concederent. Ibi Ionum reges incessit metus, ne si Achaei permisti Ionibus essent communi consilio regem sibi tum ob virtutis, tum ob generis claritatem Tisamenum declararent. Quum ergo in ea re Achaeis minime assentirentur Iones res ad arma deducta est; et Tisamenus quidem in proelio occubuit, Ionas vero Achaei Helicen, quo se illi e fuga receperant, persecuti abire eos impune ex pacto convento siverunt Tisameni sane cadaver quum Achaei Helice sepelissent, Lacedaemonii postea Delphici oraculi monitu eius ossa Sparten deportarunt; et hoc ipso tempore monstratur Tisameni sepulcrum quo loco epulum celebrant Lacedaemonii, quae Phiditia nuncupant. (4) Iones quum in Atticam venissent ab Atheniensibus rege suo Melantho Andropompi filio auctore in civitatem recepti sunt. Ionis et eo duce rerum belli gestarum memoria tantum valuit. Traditum etiam

37. *προσεμένων* SBPcAgLa; *προστεμένων* A; *προσιεμένων* XKFC; *προσμένων* M; *προεμένων* Vab; *προσεμμένων* Lb.
38. *τοῦ ἀδελφοῖς* M.
39. *νομίζουσι* Vb. — *ἐς πάρτην* La.
40. *καὶ* om. Va.
41. *Ἀνδροπόνπου* Ag. Mox *ἐξεδέξαντο* BPcVaMAgLab; *ἐδέξαντο* rell. — *ἔργον*, *ων* sup. *ον*, La.
42. *ἀχαιθηναίοις* Vb; literae *χαι* litura deletae.
43. *καὶ* om. VaAgMPcLab. (Perperam S. post *ἕνεκα* particulam *καὶ* in M esse omissam affirmat.)

τοὺς Δωριέας οἱ Ἀθηναῖοι, μὴ οὐδὲ αὐτῶν ἐθέλωσιν ἀπέχεσθαι, ἰσχύος μᾶλλον οἰκείας εἵνεκα ἢ εὐνοίᾳ τῇ ἐς τοὺς Ἴωνας συνοίκους σφᾶς ἐδέξαντο.

## CAPUT II.

**Codri filii cum Ionibus et aliis Graecis coloniam in Asiam deducunt — de tribus coloniis e Graecia deductis — Nilei in Miletum adventu et de Milesiis — templo Apollinis Didymis et Diana Ephesia — Androclus, Codri filius, Ephesum venit — de eius nece et sepulcro — Priene et Myunte ab Ionibus occupatis.**

Ἔτεσι δὲ οὐ πολλοῖς ὕστερον Μέδων καὶ Νειλεὺς[1]
πρεσβύτατοι τῶν Κόδρου παίδων ἐστασίασαν[2] ὑπὲρ τῆς
ἀρχῆς, καὶ οὐκ ἔφασκεν ὁ Νειλεὺς ἀνέξεσθαι βασιλευόμε-
νος ὑπὸ τοῦ Μέδοντος, ὅτι ὁ Μέδων τὸν ἕτερον ἦν τῶν
524 ποδῶν χωλός. δόξαν δέ σφισιν ἀνενεγκεῖν ἐς τὸ χρηστή-
ριον τὸ ἐν Δελφοῖς, δίδωσι Μέδοντι ἡ Πυθία βασιλείαν[3]
τὴν Ἀθηναίων. οὕτω δὴ ὁ Νειλεὺς καὶ οἱ λοιποὶ τῶν Κό-
δρου παίδων ἐς ἀποικίαν ἀπεστάλησαν,[4] ἀγαγόντες μὲν
καὶ αὐτῶν Ἀθηναίων τὸν βουλόμενον, τὸ δὲ πλεῖστόν
2 σφισιν ἦσαν τοῦ στρατεύματος οἱ Ἴωνες. (2) Ἐκ δὲ τῆς

est, Athenienses, quum suspectos haberent Dorienses, ac metuerent ne illi a se quoque manus abstinere nollent, magis suae potentiae studio quam Ionum amore eos in domicilii consortium recepisse.

Cap. II. Non multis post annis quum Medon et Nileus Codri filii de regno dissiderent, negaretque Nileus regnum se Medontis ferre posse qui pede altero claudicaret, rei cognitione Delphico oraculo permissa respondit vates, deberi Medonti Atheniensium regnum. Dimissi itaque in coloniam Nileus aliique Codri filii, tum ex Atheniensibus quicunque nomina dedissent, tum multo maximam Ionum manum abduxerunt. (2) Tertia

Cap. II. 1. Scriptura nominis *Νειλεὺς* ambigua; Herodoto est *Νειλεὺς* (IX, 97.) quod tuetur Wessel., Straboni *Νηλεὺς*, quod unice probat Perizon. ad Aelian. V. H. VIII, 5. In Pausaniae editionibus nomen diphthongo excusum legitur; at variant codd.; *η* praeferunt VaPc (hic non ubique); *ει* Vb (qui uno tantum loco *Νηλεὺς* habet) MLab. *ἔφασαν ὁ νειλεὺς*, sed paullo post *οὕτω δὴ ὁ νηλεὺς* Ag. Cf. Eustath. ad Hom. Od. XI, 253. p. 1681, 56. ed. Rom. Suid. s. v.

2. *ἐστισιάσαν* M.

3. *βασιλεῖαν* M.

4. *ἀπεστάλλησαν* Vb; *ἐστάλησαν* La; mox (2,3) *ἐστάλλησαν* Vb.

Ἑλλάδος τρίτος δὴ οὗτος[5] στόλος ὑπὸ βασιλεῦσιν ἀλλοί-
οις ὄχλοις τε ἀλλοίοις[6] ἐστάλησαν, τὰ μὲν γὰρ ἀρχαιότα-
τα[7] Ἰόλαος Θηβαῖος, ἀδελφιδοῦς [ὁ] Ἡρακλέους,[8] Ἀθη-
ναίοις ἐς Σαρδὼ[9] καὶ Θεσπιεῦσιν ἡγήσατο· γενεᾷ δὲ μιᾷ
πρότερον ἢ ἐξέπλευσαν ἐξ Ἀθηνῶν Ἴωνες, Λακεδαιμονίους
τε καὶ Μινύας τοὺς ἐκβληθέντας ὑπὸ Πελασγῶν[10] ἐκ Λή-
μνου Θήρας ὁ Αὐτεσίωνος[11] Θηβαῖος ἤγαγεν ἐς τὴν νῆ-
σον τὴν νῦν μὲν ἀπὸ τοῦ Θήρα τούτου,[12] πρότερον δὲ
ὀνομαζομένην Καλλίστην. τρίτον δὲ τότε οἱ Κόδρου παῖ- 3
δες ἐπετάχθησαν Ἴωσιν ἄρχοντες, οὐδέν σφισι γένους[13]
τοῦ Ἰώνων μετὸν, ἀλλὰ Μεσσήνιοι μὲν τῶν ἐκ Πύλου τὰ
πρὸς[14] Κόδρου καὶ Μελάνθου, Ἀθηναῖοι δὲ ὄντες τὰ πρὸς
μητρός. Ἴωσι δὲ τοῦ στόλου οἱ μετασχόντες[15] οἵδε Ἑλλή-
νων, Θηβαῖοί τε οἱ ὁμοῦ Φιλώτᾳ γεγονότι ἀπογόνῳ Πη-


9 Αὐχοῦντες βασιλεῦσι[39] Μακηδόνες Ἀργεάδῃσιν,
Ὑμῖν κοιρανέων[40] ἀγαθὸν καὶ πῆμα Φίλιππος.
Ἤτοι[41] ὁ μὲν πρότερος πόλεσιν λαοῖσί τ᾽ ἄνακτας
Θήσει· ὁ δ᾽ ὁπλότερος τιμὴν[42] ἀπὸ πᾶσαν ὀλέσσει,
Δμηθεὶς ἑσπερίοισιν ὑπ᾽ ἀνδράσιν ἠῴοις[43] τε.

Ῥωμαῖοί τε δὴ[44] τὰ πρὸς ἑσπέραν νεμόμενοι τῆς Εὐρώπης καθεῖλον τὴν Μακεδόνων ἀρχὴν καὶ τῶν ἐς τὸ συμμαχικὸν ταχθέντων[45] Ἄτταλος καὶ ἔτι ἐκ Μυσίας στρατιᾶς· πρὸς δὲ ἀνίσχοντα ἥλιον μᾶλλόν τι ἡ Μυσία[46] τέτραπται.

Emathiae populi, Argeadae quis gloria reges,
Commoda nunc pariet regnans, nunc damna Philippus,
Namque duces maior populis atque urbibus amplis
Imponet; sed enim Hesperiis domitus minor armis
Mox etiam Eois illustres perdet honores.

Romani enim qui ad occasum sunt, Attali et Mysorum qui ad Solis ortum vergunt, auxiliis assumtis Macedonum regnum everterunt.

39. *αἰχοῦντες* La. — *βασιλεῦσιν* MAg; mox *Μακεδόνες* VaPcMAg La; *μακαὶδόνες* (sic) Lb.

40. *μοιρανέων* VaM; deinde *φιλίππου* VaM; *φίλιππον* Lb.

41. pro *ἤτοι* Ag *ἤ*. tum *πόλεσι* AM; *πόλεσι*, *ν* sup. *ι*, Lb. — *λαοῖσίν τ᾽* M. — *τ᾽ἄνακτος* Va. tum *θήσει δ᾽ ὁπλ.* VaAgLb.

42. *τιμὴν ὀλέσειαμηθεὶς* (sic) Vb; *ὀλέσει ἀμηθεὶς* VaMAg; *ἀμηθεὶς* (sic) Lb.

43. *ἠῴοις* M.

44. *μὲν δὴ* SVaM; *γε δὴ* AXKF CPcVbAgLab; *τε δὴ* B; mox *τὸν μακεδ.* La.

45. *τεχθέντων* Vb. Tum *καὶ ἔτι — στρατιᾶς*] locus corruptus; quod Hartung. coniecit, et CS receperunt probante Sylb., *στρατιά*, parum videtur accommodatum; B pro *καὶ ἔτι* sententiam *ἡγεῖτο* poscere opinatur; aptius quidem, neque tamen satisfacit. Lacuna latere videtur; nisi fortasse malis *καὶ ἡ ἐκ Μυσίας στρατιά*. — *καὶ ἔτι μεσίας στρατιάς* La.

46. *ἡ ἀμυσία* AgLa.

# CAPUT IX.

Metellus de Achaeis dicto non audientibus querelas ad senatum defert — Lacedaemonii in senatu Achaeos criminantur — Romani mittunt, qui inter Achaeos et Lacedaemonios disceptent — muri Spartae reficiuntur — Romani Lacedaemoniis faventes Achaeis varie adversantur.

Τότε δὲ τῷ Μετέλλῳ[1] καὶ τῇ ἄλλῃ πρεσβείᾳ μὴ ὑπεριδεῖν Λακεδαιμονίων ἤρεσε καὶ Ἀχαιῶν, τοὺς δὲ τὰς ἀρχὰς ἔχοντας ἐς τὸ συνέδριον ἠξίουν[2] συγκαλέσαι τοὺς Ἀχαιοὺς ἵνα ἐν κοινῷ διδάξωσιν αὐτοὺς ἠπιώτερον μεταχειρίζεσθαι τὰ ἐν Λακεδαίμονι. οἱ δέ σφισιν ἀπεκρίναντο μήτε[3] ἐκείνοις Ἀχαιοὺς ἐς σύλλογον μήτε ἄλλῳ συνάξειν, 544
ὅστις μὴ ἐπὶ[4] τῷ πράγματι ἐφ' ὅτῳ ποιεῖται τὴν πρόσοδον παρὰ τῆς Ῥωμαίων βουλῆς ἔχει δόγμα. Μέτελλος δὲ καὶ οἱ σὺν αὐτῷ ὑπὸ τῶν Ἀχαιῶν περιϋβρίσθαι νομίζοντες, ἐπειδὴ ἀφίκοντο ἐς Ῥώμην πολλὰ ἐπὶ τῆς βουλῆς καὶ οὐ πάντα[5] τὰ ἀληθῆ κατηγόρουν τῶν Ἀχαιῶν.
(2) Τούτων δὲ πλείονα ἐνεκάλουν[6] Ἀχαιοῖς Ἀρεὺς καὶ 2

Cap. IX. Metellus tunc ceterique legati non esse Achaeorum et Lacedaemoniorum querelas contemnendas censuerunt. Quare ab Achaeorum magistratibus dari sibi concilium postularunt, quo scilicet pro concione iure aequiore cum Lacedaemoniis agendum Achaeis persuaderent. At enim illi pernegare aut illis, aut aliis quibusvis concilium se daturos, qui de qua re missi essent Senatus decretum non attulissent. Metellus et collegae, quod Achaei se dicto audientes non praebuerant, durius accepere, ac Romam reversi multa de illis ad invidiam conflandam, neque omnino vera omnia ad senatum detulerunt. (2) Sed invidiosius multo Achaeos criminati sunt

Cap. IX. 1. μετέλῳ Lb. — Mox τοὺς δὲ τὰς MPcAgLab, quod recepimus deleta interpunctione post ἤρεσε et posita post Ἀχαιῶν; Lb post ἤρεσε nullam, post Ἀχαιῶν maximam habet interpunctionem, La nullam utique; δὲ om. edd. codd. rell.

2. ἠξίουν — ἠπιώτερον om. M.

3. ἀπεκρίνατο La, tum μήτε ἐκείν. SB, μηδὲ edd. rell. PcAgLa, μὴ δὲ MVabLb.

4. μὴ ἐ ἐπὶ (sic) Vb.

5. οὐ παρὰ τὰ Va.

6. ἐνεγκάλουν Ag. Tum Ἀλκιβιάδας SBVb(?)PcLbM; in M sup. α poster. est η; Ἀλκιβιάδης edd. rell. AgLa; ἀλκιάδης Va; porro οἳ λακ. A, ὡς λακ. PcAgLa, ἅς λακ. Lb; οἱ Λακ. rell.

Ἀλκιβιάδας, Λακεδαιμόνιοι μὲν καὶ δόκιμοι τὰ[7] μάλιστα ἐν τῇ Σπάρτῃ, τὰ δὲ ἐς Ἀχαιοὺς οὐ δίκαιοι·[8] γενομένους γὰρ ὑπὸ Νάβιδος φυγάδας ὑπεδέξαντο αὐτοὺς οἱ[9] Ἀχαιοί, καὶ ἀποθανόντος Νάβιδος παρὰ γνώμην[10] Λακεδαιμονίων τοῦ δήμου κατάγουσιν ἐς Σπάρτην. τότε οὖν ἀναβεβηκότες καὶ οὗτοι παρὰ τὴν βουλὴν προθυμότατα[11] ἐνέκειντο Ἀχαιοῖς· Ἀχαιοὶ δέ σφισιν ἀπελθοῦσιν
3 ἐπιβάλλουσιν ἐν τῷ συνεδρίῳ[12] θάνατον ζημίαν. (3) Ῥωμαίων δὲ ἡ βουλὴ πέμπουσιν ἄλλους τε ἄνδρας καὶ Ἄππιον[13] Λακεδαιμονίοις καὶ Ἀχαιοῖς τὰ δίκαια ὁρίσαι. Ἄππιος δὲ καὶ οἱ σὺν αὐτῷ ἔμελλον μὲν οὐδὲ ὀφθέντες Ἀχαιοῖς ἔσεσθαι καθ' ἡδονήν, οἳ Ἀρέα[14] καὶ Ἀλκιβιάδαν ἅμ' αὐτοῖς[15] ἐπήγοντο ἐν τῷ τότε Ἀχαιοῖς ἐχθίστους· ἐλύπησαν δὲ καὶ ἐς πλέον τοὺς Ἀχαιούς, ἐπειδὴ ἐς τὸν

Areus et Alcibiadas Lacedaemonii illi quidem apud suos existimatione summa, sed in Achaeos iniquiores. Nam quum eos Nabis eiecisset apud Achaeos exularant; moxque ab iisdem, Nabide mortuo, in patriam contra populare Lacedaemoniorum decretum reducti fuerant. Verum et ipsi tunc in senatum Romanum intromissi in magnam invidiam Achaeos vocarunt. Quare illis Achaei simulatque Romam abierant in concilio capitis mulctam irrogant. (3) Romani Appium [Claudium] et alios legatos miserunt, qui inter Achaeos et Lacedaemonios disceptarent. Sed minime fuit eorum adventus Achaeis gratus. Secum enim illi Areum et Alcibiadam, quos hostes Achaei iudicaverant, habebant. Illud certe homines multo gravius offendit, quod in Achaeorum conventu Romani iracundius et minime ad persua-

7. λακ. μὲν καὶ δόκ. τὰ μάλιστα MPcAgLab. E lectione codicis Lb nota praecedente prolata ἃς λακ. apparet ἃς nihil aliud esse quam correcturam nominis Ἀλκιβιάδης terminationi suprascriptam, quae in contexta recepta ab aliis in οἱ, ab aliis in ὡς correcta est scilicet, quo facto verborum sequentium ordo itidem mutari debuit; quare genuinam lectionem restituisse videmur sic scribendo: Ἀλκιβιάδας, Λακεδαιμόνιοι μὲν καὶ δόκιμοι τὰ μάλιστα ἐν τῇ Σπάρτῃ, τὰ δὲ ἐς Ἀχ.; edd. et Vab sic: Ἀλκιβιάδας οἱ Λακεδ., δόκιμοι μὲν τὰ μάλ. — Articulum ante Σπάρτῃ om. Ag.

8. δίκαι M.

9. οἱ om. Vb. — φυγάδας — ἀποθανόντος bis La.

10. γνώμης MVa, γνώμνην Lb. — καὶ οὗτος La.

11. προθυμώτατα Ag; ἐνέμοντο pro ἐνέκειντο Lb.

12. ἐν τῷ συνεδρ. — πέμπουσιν om. Ag.

13. ἄπιον Vb; tum τὰ δίκαια — Ἀχαιοῖς om. La.

14. ἀργέα MVa. Tum Ἀλκιβιάδαν Smin.BPcVab(?); Ἀλκιβιάδην edd. rell. MAgLab.

15. αὐτοῖς B; tum ἐπείγοντο M Vab.

σύλλογον αὐτῶν ἐπελθόντες σὺν ὀργῇ μᾶλλον ἐποιοῦντο
ἢ πειθοῖ[16] τοὺς λόγους. Λυκόρτας δὲ ὁ Μεγαλοπολί- 4
της, οὔτε[17] ἀξιώματι οὐδενὸς Ἀρκάδων ὕστερος καί τι[18]
καὶ φρόνημα κατὰ φιλίαν προσειληφὼς τὴν Φιλοποίμενος,
λόγῳ τε ἀπέφαινε[19] τὰ ὑπὲρ τῶν Ἀχαιῶν δίκαια καὶ ὁμοῦ
τοῖς λόγοις[20] καὶ μέμψιν τινὰ ὑπέτεινεν ἐς τοὺς Ῥωμαί-
ους. Ἄππιος[21] δὲ καὶ οἱ σὺν αὐτῷ Λυκόρταν λέγοντα
ἐποιοῦντο ἐν χλευασμῷ,[22] καὶ Ἀρέως ἀποψηφίζονται καὶ
Ἀλκιβιάδα[23] μηδὲν ἀδίκημα ἐξ αὐτῶν ἐς[24] Ἀχαιοὺς εἶναι,
Λακεδαιμονίοις τε ἀποστεῖλαι πρέσβεις ἐφιᾶσιν ἐς Ῥώμην,
ἐναντία[25] ἐφιέντες ἢ Ῥωμαίοις συγκείμενα ἦν καὶ Ἀχαιοῖς·
Ἀχαιῶν μὲν γὰρ εἴρητο[26] ἀπὸ τοῦ κοινοῦ παρὰ τὴν Ῥω-
μαίων βουλὴν ἀπιέναι[27] πρέσβεις, ἰδίᾳ δὲ ἀπείρητο μὴ
πρεσβεύεσθαι τὰς πόλεις ὅσαι συνεδρίου τοῦ Ἀχαιῶν 545
μετεῖχον.[28] ἀντιπρεσβευσαμένων δὲ καὶ Ἀχαιῶν Λακε- 5
δαιμονίοις καὶ λόγων ῥηθέντων ὑπὸ ἀμφοτέρων ἐπὶ τῆς

dendum accommodate verba fecerunt. In eo conventu erat Lycortas Megalopolitanus Arcadum facile princeps, et qui amicitia Philopoemenis fretus animum paulo elatiorem ad sententiam dicendam afferebat. Is causam Achaeorum summa libertate dixit et Romanos etiam oratione sua nonnihil pupugit. Legati Lycortae dicta quasi illudentes pro nihilo habere; quin Areum et Alcibiadam sententia sua nihil grave in Achaeos commisisse declararunt; et Lacedaemoniis ut Romam legatos mitterent concesserunt, contra quam inter Achaeos et Romanos convenerat. Decretum enim fuerat publice ab Achaeorum concilio legatos ad senatum Romanum esse mittendos, atque interdictum ne qua ex Achaeorum consessu civitas privatam legationem moliretur. Missa etiam ab Achaeis contraria legatio est. Quum multis utrinque disceptationibus in senatu res agitata fuis-

16. πυθοῖ Va.
17. οὔτε B; οὐδὲ rell. edd. M VabPcAgLab.
18. καί τοι Vb; seq. καὶ om. Va.
19. ἀπέφανε AXVa; ἀπέφηνε Vb.
20. λόγοις om. Ag.
21. ἄπιος — ὁ σὺν VbLb.
22. χλυασμῷ A.
23. Ἀλκιβιάδα SBPcVbMAgLab; Ἀλκιβιάδου XKFC; ἀλκιβιάδη Va; Ἀλκιβιάδην A.
24. ἐς om. Va; mox Λακεδαιμονίους idem.
25. ἀναντία Va; ἀφιέντες MVab.
26. εἴρηται VabPcMAgLab.
27. ἀπιέεναι Vb.
28. μετεῖχον usque Ἀχαιῶν om. Va; tum δὲ ἀχαιῶν sine καὶ, Vb. Deinceps δικασταῖς (?) et σὺν ἐκείνων La.

βουλῆς, τοὺς αὐτοὺς ἀποστέλλουσιν αὖθις οἱ Ῥωμαῖοι Λακεδαιμονίοις γενέσθαι καὶ Ἀχαιοῖς δικαστάς, Ἄππιον καὶ ὅσοι σὺν ἐκείνῳ πρότερον ἐς τὴν Ἑλλάδα ἀφίκοντο. οἱ δὲ τούς τε ἐκβληθέντας ὑπὸ Ἀχαιῶν κατάγουσιν ἐς Σπάρτην, καὶ ὅσων[29] πρὸ κρίσεως ἀπελθόντων κατέγνωστο ὑπὸ τῶν Ἀχαιῶν ἀδικεῖν, καὶ τὰ ἐπὶ τούτοις τιμήματα ἔλυσαν. καὶ συντελείας μὲν Λακεδαιμονίους ἐς τὸ Ἀχαϊκὸν οὐκ ἀφιᾶσι,[30] περὶ δὲ τῇ ἑκάστου ψυχῇ ξενικά σφισι[31] διδόασιν εἶναι δικαστήρια, ὅσα δὲ[32] ἄλλα ἐγκλήματα, λαμβάνειν τε αὐτοὺς καὶ[33] ἐν τῷ Ἀχαϊκῷ ὑπέχειν τὰς κρίσεις. (4) Ἐτειχίσθη δὲ καὶ ἐξ ἀρχῆς αὖθις Σπαρτιάταις
6 ὁ κύκλος τοῦ ἄστεως.[34] Λακεδαιμονίων δὲ οἱ κατελθόντες βουλεύοντες παντοῖα ἐπὶ Ἀχαιοῖς λυπήσειν σφᾶς ἐπὶ τοιῷδε μάλιστα ἤλπιζον. Μεσσηνίους τοὺς Φιλοποίμενι[35] θανάτου συναιτίους γενέσθαι νομισθέντας καὶ κατὰ αἰτίαν[36] ταύτην ὑπὸ Ἀχαιῶν ἐκπεπτωκότας,[37] τού-

set, eosdem iterum legatos Romani misere eiusque legationis principem Appium cum liberis mandatis de Achaeis et Lacedaemoniis, quod visum esset, statuendi. Ii primo statim adventu et quos Achaei exilio multassent Spartam reduxerunt, mulctamque remiserunt iis qui, quod ante causae cognitionem discessissent, ab Achaeis iniuriarum erant damnati. Ac Lacedaemonios quidem ab Achaico concilio non liberant, sed capitis iudicia penes exteros illis esse volunt, de caeteris criminibus et accusare illos et accusari in Achaico concilio posse. (4) Novo denique murorum ambitu Spartanum oppidum muniendum curarunt. Recepta exules patria consilia sua ad Achaeos exagitandos omnia contulerunt, quocirca hoc se illos pacto probe ulcisci posse sperantes, Messeniis iis, qui eius coniurationis qua Philopoemen occisus fuerat, participes fuisse iudicati fuerant eamque ob causam exilio ab Achaeis mulctati erant, iis, in-

29. ὅσον PdAgLa; deinde προκρίσεως Vb. — ἀχαιϊκὸν La, ut solet, Lb.

30. ἀφίασι M; ἀφιᾶσιν Ag.

31. σφισιν MAg; σφισι δὲ δόασιν La.

32. ὅσα δὲ B; ὅσα τε rell. edd. MVabPcAgLab.

33. „καὶ aptius ante ὑπέχειν collocaveris“ B. — Ἀχαϊκῷ AgLab.

34. ἄστεος Va; ἄστεως M, o sup. ω; ἄστευς La. — Mox βασιλεύοντες pro βουλεύοντες La; tum μεσινήους idem.

35. φιλοποίμενοι AgLa.

36. καὶ κατὰ αἰτίαν CBSmai. PacdAgLab; καὶ κατ' αἰτίαν coni. K; καὶ αἰτίαν AXKVabM; καὶ δι' αἰτίαν Sylb.FSmin.

37. ἐκπεπτοκότας Vb. — τούτους δὲ καὶ ἀχαιοὺς La; mox ἀνεληθότες idem.

τους τε καὶ Ἀχαιῶν αὐτῶν τοὺς φεύγοντας ἀναβῆναι πείθουσιν ἐς Ῥώμην· σὺν δέ σφισιν ἀνεληλυθότες καὶ αὐτοὶ γενέσθαι τοῖς ἀνδράσιν ἔπρασσον κάθοδον. (5) Ἅτε δὲ[38] τοῦ Ἀππίου Λακεδαιμονίοις συμπροθυμουμένου μεγάλως, Ἀχαιοῖς δὲ ἐπὶ παντὶ ἀντιβαίνοντος, ἔμελλεν οὐ χαλεπῶς Μεσσηνίων καὶ Ἀχαιῶν τοῖς φεύγουσι[39] τὰ βουλεύματα ἐς δέον χωρήσειν. γράμματα δὲ[40] αὐτίκα ὑπὸ τῆς βουλῆς ἔς τε Ἀθήνας κατεπέμπετο[41] καὶ ἐς Αἰτωλίαν κατάγειν σφᾶς Μεσσηνίους καὶ Ἀχαιοὺς ἐπὶ τὰ οἰκεῖα. τοῦτο Ἀχαιοὺς ἐς τὰ μάλιστα ἠνίασεν ὡς οὔτε ἄλλως 7
πάσχοντας δίκαια[42] ὑπὸ Ῥωμαίων καὶ ἐς τὸ ἀνωφελὲς 546
προϋπηργμένων σφίσιν ἐς αὐτούς, οἳ ἐπὶ τὰ[43] Φιλίππου καὶ Αἰτωλῶν ἐναντία καὶ αὖθις Ἀντιόχου στρατεύσαντες χάριτι ἐς Ῥωμαίους ἐγίνοντο ὕστεροι φυγάδων ἀνθρώπων καὶ οὐ καθαρῶν χεῖρας.[44] ὅμως δὲ εἴκειν σφίσιν ἐδόκει. τότε μὲν δὴ ἐς τοσοῦτον[45] ἐπράχθη.

quam, et Achaeorum praeterea exulibus persuasere, ut Romam querelas ad Senatum deferrent. Et iis quidem quum et ipsi adfuissent haud magno negotio reditum confecerunt. (5) Favente enim summo studio Lacedaemoniis Appio, Achaeorum vero causam acriter impugnante, ea Senatus decrevit quae maxime voluerunt Messenii et Achaei exules. Missae itaque Athenas et in Aetoliam literae, quibus imperabant Romani, ut Messeniis et Achaeis exulibus suum unicuique ius suaque bona restituerentur. Vehementer haec res animos Achaeorum commovit, praesertim quum se et ante iniuriosius a Romanis tractatos interpretarentur, et sua in Romanos pristina merita non fuisse qua sperarant gratia excepta viderent, quum, qui contra Philippum, Aetolos, Antiochum, egregiam Romanis operam navassent, iam exulibus et iis hominibus qui incestas manus haberent postponerentur; imperata tamen sibi facienda ac tempori parendum duxerunt.

38. ἅτε δὴ Va. Tum λακεδαιμονίου idem. συνπροθυμ. AXKFCVb M(?)Lb. — μεσινίων La.

39. φεύγουσιν Ag. Mox χωρίσειν Va.

40. γράμματά τε B. — ὑπὸ τῆς βουκτῆς La.

41. κατεπέμποντο Ag. — μεσινίους La; tum κατὰ ἀχαιοὺς idem.

42. δίκαι MVb; seq. ἐς om. Va. — ἀνοφελὲς La.

43. τοῦ φ. Va.

44. χεῖρες Vb. Deinde ἥκειν Vab AgLb. tum ἐδόκειν Ag.

45. τοσοῦτο AgLa.

# CAPUT X.

Proditionis patriae varia exempla apud plures gentes enumerantur — Achaei per Callicratem proditi Romanis obnoxii redduntur.

Τολμημάτων δὲ τὸ ἀνοσιώτατον, τὴν πατρίδα καὶ ἄνδρας προδιδόναι πολίτας ἐπὶ οἰκείοις κέρδεσιν, ἔμελλε[1] καὶ Ἀχαιοῖς κακῶν ἄρξειν, οὔποτε ἐκ τοῦ χρόνου παντὸς τὴν Ἑλλάδα ἐκλιπόν.[2] ἐπὶ μέν γε Δαρείου τοῦ Ὑστάσπου βασιλεύοντος Περσῶν Ἴωσι[3] τὰ πράγματα ἐφθάρη Σαμίων πλὴν ἑνός τε καὶ δέκα ἀνδρῶν τῶν ἄλλων τρι-
2 ηράρχων τὸ ναυτικὸν τὸ Ἰώνων προδόντων. Μετὰ δὲ Ἴωνας κεχειρωμένους ἠνδραποδίσαντο[4] καὶ Ἐρέτριαν Μῆδοι· προδόται δὲ[5] ἐγένοντο οἱ εὐδοκιμοῦντες μάλιστα ἐν[6] Ἐρετρίᾳ, Φίλαβρος[7] Κυνέου καὶ Εὔφορβος Ἀλκιμάχου. Ξέρξῃ[8] δὲ ἐπὶ τὴν Ἑλλάδα ἐλαύνοντι Θεσσαλία τε δι᾽ Ἀλευαδῶν[9] προεδόθη, Θήβας δὲ Ἀτταγῖνος[10] καὶ Τιμη-

Cap. X. Atque ea quidem perditissimorum hominum perversitas, qui patriae salutem hostibus vendere nihil verentur, Achivis exitio fuit. Neque vero scelus hoc ut semel in Graecia usurpari coeptum est ullum finem reperit. Dario primum Hystaspis filio in Persis regnante Ionum res afflictae prope sunt, classe prodita ab omnibus Samiarum triremium praefectis, undecim duntaxat exceptis. Post oppressos Ionas subegerunt Eretriam Persae, quum civitatis suae principes Philabrus Cyneae filius et Alcimachi Euphorbus, patriam suam hostibus prodidissent. Xerxi in Graeciam irruenti Thessaliam Aleuadae, The-

Cap. X. 1. ἔμελλεν Ag.

2. ἐκλειπόν (sic, non ἐκλείπον, ut S perhibet) VaMAgLa; in Lb ει corr. in ι; non improbat S ἐκλείπον (ἐκλεῖπον) — ὑστάππου La.

3. Ἴωσιν Ag. Mox ἐφθάρησαν Vb., at σαν litura deletum; ἐφθάρη σαγκίων Lb.

4. ἠνδραποδήσαντο Vb. ἢν δραποδίσαντο La. — ἐρέτρειαν VabLb; Ἐρετρείαν AgLa; mox Ἐρετρείᾳ M AgLb.

5. γε ἐγέν. Vb. δὲ om. Ag.

6. ἐς ἐρετρ. Vb; ἐρετρείᾳ La.

7. Φίλαγρος Am. SC. Palm. Ms, probarunt Wessel. et Valken. ad Herodot. VI, 101.; Φίλαυρος Vb; φίλαβρος AXKFBVaPcMAgLab.

8. ξέρξης La, tum ἐπὶ τῇ ἑλλάδα (sic) Ag.

9. Ἀλευαδῶν Sylb. SB; Ἀλευάδων edd. rell.; ἀλευάδου VaPcM AgLab; διὰ λεβυάδου Vb; „Aleuadae prodiderunt." Am. Tum προεδόθη SVaMLb; προυδώθη Vb; προὐδόθη rell. edd. PcAgLa.

10. Ἀτταγῖνος Sylb. Palm. Ms. CSBPcAgVb. Am. ἀττανγῖνος La; Ἀτταγῖλος rell. edd. MVaLb. mox προδιδόασιν Ag.

γενίδας προδιδόασι, φερόμενοι τὰ πρῶτα ἐν Θήβαις.
Πελοποννησίων δὲ καὶ Ἀθηναίων πολεμησάντων Ξενίας[11]
Ἠλεῖος ἐπεχείρησεν Ἦλιν Λακεδαιμονίοις καὶ Ἄγιδι προ-
δοῦναι. Οἵ τε Λυσάνδρου καλούμενοι ξένοι χρόνον οὐ- 3
δένα[12] ἀνίεσαν πατρίδας ἐγχειρίζοντες Λυσάνδρῳ τὰς
ἑαυτῶν. Κατὰ δὲ τὴν Φιλίππου βασιλείαν τοῦ Ἀμύντου
Λακεδαίμονα πόλεων μόνην οὐ προδοθεῖσαν τῶν ἐν Ἕλ-
λησιν εὕροι τις ἄν· αἱ δὲ ἄλλαι πόλεις αἱ ἐν τῇ Ἑλλάδι
ὑπὸ προδοσίας μᾶλλον ἢ ὑπὸ νόσου πρότερον τῆς λοι-
μώδους ἐφθάρησαν. Ἀλεξάνδρῳ δὲ τῷ Φιλίππου παρέ-
σχεν ἡ εὐτυχία μικρὰ ἀνδρῶν προδοτῶν καὶ οὐκ ἄξια λό-
γου προσδεηθῆναι. Ἐπεὶ δὲ τὸ ἐν[13] Λαμίᾳ πταῖσμα 4
ἐγένετο Ἕλλησιν, Ἀντίπατρος μὲν ἅτε διαβῆναι ποιούμε- 547
νος σπουδὴν πρὸς τὸν ἐν τῇ Ἀσίᾳ πόλεμον, ἐβούλετο
εἰρήνην ἐν τάχει συντίθεσθαι, καί οἱ διέφερεν οὐδὲν εἰ
Ἀθήνας[14] τε ἐλευθέραν καὶ τὴν πᾶσαν Ἑλλάδα ἀφήσει·
Δημάδης δὲ[15] καὶ ὅσον προδοτῶν Ἀθήνησιν ἄλλο ἦν

bas Attaginus et Timagenidas Thebanorum primores prodiderunt. At Peloponnesiaco bello, quod inter Athenienses et Spartanos gestum est, Agidi Lacedaemoniorum duci Xenias Eleus Elin ipsam tradere est aggressus. Lysandro dehinc qui hospites eius appellabantur donec patrias proderent suas quiescere nunquam potuerunt. Philippo vero Amyntae filio ad Graeciae imperium adspirante unam invenias proditionis immunem Spartam, ceteras Graecorum urbes non magis pestilentia superiorum temporum, quam proditiones deleverunt. Alexandri felicitas effecit ut nullum magnopere insigne proditionis exemplum, quo res eius adiutae fuerint, possit commemorari. Post acceptam ad Lamiam cladem quum Antipater festinaret in Asiam transmittere, conversisque ad illud bellum opibus facile videretur Atheniensibus pacem daturus, quod rationibus suis minime alienum putabat si Athenas ipsas atque adeo universam Graeciam liberam esse sineret, Demades et alii consiliorum socii

11. ἐξενίας Vb. ξενείας Ag.

12. χρόνον δὲ οὐδ. MVa. Tum ἀνίεσαν BMRPcAgLab; R ad marg. ἄλλ. ἐπαύσαντο, quod habent edd. rell. Vab. — Mox βασιλέα τοῦ ἀμ. La; idem om. πόλεων. Deinceps ἑλλάδι ὑπὸ νήσου (sic) πρότερον, omissis mediis La; idem mox φιλίππῳ.

13. τῷ ἐν A; τῶν ἐν Vb; τὸ ἐν σαλαμίᾳ Lb; τῷ, et supr. vers. ὁ, M. Tum ἅτε διατρ. διαβῆναι (sic) La.

14. ἀθηνᾶς hoc loco et aliquot lineis infra, Ag; sq. τε om. Va; εἰ ἀθήνας τε καὶ τὴν πᾶσαν ἑλλάδα ἐλευθέραν ἀφήσῃ (ει sup. η) Vb; non displicet verborum ordo.

15. τε Va; mox ὅσων Ag.

ἀναπείθουσιν Ἀντίπατρον μηδὲν ἐς Ἕλληνας φρονῆσαι
φιλάνθρωπον, ἐκφοβήσαντες[16] δὲ Ἀθηναίων τὸν δῆμον
ἔς τε Ἀθήνας καὶ πόλεων[17] τῶν ἄλλων τὰς πολλὰς ἐγέ-
νοντο αἴτιοι Μακεδόνων ἐσαχθῆναι[18] φρουράς. βεβαιοῖ δέ
5 μοι καὶ τόδε τὸν λόγον·[19] Ἀθηναῖοι γὰρ μετὰ τὸ ἀτύχη-
μα τὸ ἐν Βοιωτοῖς οὐκ ἐγένοντο Φιλίππου κατήκοοι, ἁλόν-
των[20] μέν σφισι δισχιλίων ὡς ἐκρατήθησαν, παρὰ τὸ
ἔργον, χιλίων δὲ φονευθέντων· ἐν Λαμίᾳ δὲ περὶ δια-
κοσίους πεσόντων καὶ οὐ πλέον τι Μακεδόσιν ἐδουλώ-
θησαν. οὕτω μὲν οὔποτε τὴν Ἑλλάδα ἐπέλειπον[21] οἵ
ἐπὶ προδοσίᾳ νοσήσαντες. (2) Ἀχαιοὺς δὲ ἀνὴρ Ἀχαιὸς[22]
Καλλικράτης τηνικαῦτα ἐς ἅπαν ἐποίει[23] Ῥωμαίοις ὑπο-
χειρίους. ἀρχὴ δέ σφισιν ἐγίνετο κακῶν Περσεὺς καὶ ἡ
6 Μακεδόνων ἀρχὴ καταλυθεῖσα ὑπὸ Ῥωμαίων. Περσεῖ
τῷ[24] Φιλίππου πρὸς Ῥωμαίους ἄγοντι εἰρήνην κατὰ
συνθήκας[25] ἃς ὁ πατήρ οἱ Φίλιππος ἐποιήσατο, ἐπῆλ-

homini a sententia oratione sua deducto nihil mite aut benignum in Graecos cogitandum persuaserunt; quin quum Atheniensem populum vehementer perterrefactum viderent, et Athenis et aliis urbibus ut Macedonum imponerentur praesidia auctores fuere. Confirmat orationem meam rerum eventus. Athenienses enim etsi magnam acceperant in Boeotiis cladem, bis mille ex acie sua captis, mille occisis, non continuo tamen Philippi imperata fecerunt. Ad Lamiam vero ducentis ferme ac nihilo pluribus militibus amissis Macedonibus succubuere. Atque ita nullis temporibus haec proditionum quasi pestis quaedam Graeciae desiit negotium facessere. (2) Achaeos quidem Callicratis Achaei hominis perfidia Romanis parere coegit. Initia tamen malorum omnium Achaeis, Persei regis et Macedonici imperii exitium, importarunt. Nam quum Perseus ictum cum Romanis a Philippo patre foedus violasset, regemque Sapaeorum (quorum

16. ἐκφρονήσαντες, p. corr. ἐκφοβήσαντες Va.

17. πόλλεων Va.

18. ἐς ἀχθῆναι M.

19. τόνδε τὸν λόγον AVbAgLab; τόνδε τὸν λόγων M; τόνδε τῶν λόγων Va. Mox „malim μετὰ μὲν τὸ.“ B.

20. ἀλώντων La; σφισιν M. Deinde ἐκρατήθησαν Sylb. FCSLa; ἐκράτησαν rell. edd. codd.

21. ἐπέλοιπεν Vb.

22. ἀνὴρ Ἀχαιὸς om. Ag.

23. ἐπόρει ῥωμαίους Va; mox ἐγίγνετο AgLab.

24. Περσεῖ τῷ BVabPcMAgLab; Περσεῖ γὰρ τῷ rell. edd.

25. κασυνθήκας Va; mox πηρ ὁ Φ. idem.

θεν ὑπερβῆναι τοὺς ὅρκους, καὶ ἐπί τε ** Σαπαίων[26]
τὸν βασιλέα Ἀβρουπόλιν στράτευμα ἀγαγὼν ἐποίησεν ἀνα-
στάτους Ῥωμαίων συμμάχους[27] ὄντας· Σαπαίων δὲ τού-
των καὶ Ἀρχίλοχος ἐν ἰαμβείῳ[28] μνήμην ἔσχε. Μακεδό- 7
νων δὲ καὶ Περσέως κεχειρωμένων[29] πολέμῳ διὰ τὸ ἐς
Σαπαίους ἀδίκημα, ἄνδρες τῆς Ῥωμαίων βουλῆς δέκα 518
ἐπέμφθησαν καταστησόμενοι πρὸς τὸ ἐπιτηδειότατον[30]
Ῥωμαίοις τὰ ἐν Μακεδονίᾳ. ἥκοντας δὲ ἐς τὴν Ἑλλάδα
ὑπήρχετο ὁ Καλλικράτης, οὔτε ἔργον[31] τῶν ἐς τὴν κο-
λακείαν οὔτε λόγον οὐδένα ἐς αὐτοὺς παριείς. ἕνα δέ
τινα ἐξ αὐτῶν ἄνδρα οὐδαμῶς ἐς δικαιοσύνην πρόθυμον,
τοῦτον τὸν ἄνδρα προσεποιήσατο ὁ Καλλικράτης ἐς τό-
σουτον ὥστε αὐτὸν καὶ ἐς τὸ συνέδριον ἐσελθεῖν τὸ
Ἀχαιῶν[32] ἔπεισεν. ὁ δὲ ὡς ἐς τὸν σύλλογον ἐσῆλθεν, 8
ἔλεγεν ὡς πολεμοῦντι πρὸς Ῥωμαίους Περσεῖ χρήματα οἱ

facit in iambicis mentionem Archilochus) Abrupolim populi Romani socium et amicum sedibus expulisset suis, et Romani ulti sociorum iniurias Perseum ipsum totumque eius regnum in potestatem suam redegissent, missi a Romano Senatu sunt decem legati ad Macedoniae res, uti in rem suam foret maxime, ordinandas. Eos omni obsequii et ad assentationem appositae orationis genere Callicrates circumvenire aggressus, ex illis etiam unum ad iustitiam tuendam minime propensum in consilium produxit. Is frequentissimo Achaeorum conventu criminose queri coepit, a potentioribus pecunia et aliis studiorum significationibus contra Romanos Perseum adiutum; postulare

26. *Σαπαίων* et postea *Σαπαίους* Am. Sylb. ex Herod. Strab. Ptol., Palm. Ms. recep. SB; per *ε* constanter exarant reliqui. Caeterum mancus videtur locus; quare F post *βασιλέα* inserere vult *καί*; *ἐπί τε Σαπαίους καὶ τὸν βασ.* coni. K; *καὶ κατὰ Ἀβρουπόλεως στράτ. ἀγ.* Sylb.; *ἐπί τε Σαπαίους καὶ Σαπαίων τ. βασ.* Schleiermacher, quod prae reliquis placet; lacunam indicavimus. Deinde *Ἀβρούπολιν* Palm. FCS; id. voluerat K; *Ἀβρουπόλιν* BPc*Ag; *Ἄβρου πόλιν* VabMLb; *Ἄβρου πόλεως* AXK; *ἀβροῦπολις* La; „Abro urbe expugnata" Am.

27. *συμάχους* Vb.

28. *ἰαμβείῳ* B; *ἰαμβίῳ* Pc; *ἰάμβρῳ* VbAg; *ἰάμβῳ* rell. edd. MVa Lab. Tum *ἔσχεν* Ag.

29. *κεχειρομένων* Va. Tum *ἐς Σαπίους* Vb; *τὸ ἐσπέτους* Va; *τὸ ἐς ἐσπέτους* RM (*ἐσπέτρους* sec. S.); ad marg. R. *σαπεοὺς*; *ἐς ἀπέσους* Pc. *ἐς σαπέους* AgLa; *ἐσσαπέτους* Lb; mox *ἐπέφθησαν* Lb.

30. *ἐπιτηδτατον* M, in marg. *ἐπιτηδειότατον*. Tum *μακεδωνία* Vb. Deinde *καλλικρήτης* La; et sic postea aliquoties.

31. *ἔργων* Vb, o sup. *ω*; deinde LaVb. *κολακίαν*, in Vb *ει* sup. *ι*. Articulus melius abest.

32. *τῶν ἀχαιῶν* Va.

δυνατώτατοι τῶν Ἀχαιῶν παράσχοιεν, συνάραιντο[33] δὲ καὶ ἐς τὰ ἄλλα· ἐκέλευσεν οὖν καταγνῶναι τοὺς Ἀχαιοὺς θάνατον· εἰ δὲ ἐκεῖνοι καταγνοῖεν, τότε καὶ αὐτὸς τὰ ὀνόματα ἐρεῖν[34] ἔφασκε τῶν ἀνδρῶν. λέγειν τε δὴ ἐδόκει παντάπασιν ἄδικα, καὶ αὐτὸν ἠξίουν οἱ ἐς τὸν σύλλογον ἐληλυθότες ἤδη, εἰ Περσεῖ τὰ αὐτὰ Ἀχαιῶν τινὲς ἔπραξαν ὀνομαστὶ αὐτῶν[35] ἑκάστου μνησθῆναι, πρότερον
9 δὲ οὐ σφᾶς καταγινώσκειν[36] εἰκὸς εἶναι. ἔνθα δὴ[37] ὡς ἠλέγχετο ὁ Ῥωμαῖος, ἀπετόλμησεν εἰπεῖν ὡς οἱ ἐστρατηγηκότες Ἀχαιῶν ἐνέχονται πάντες τῇ αἰτίᾳ· πάντας γὰρ φρονῆσαι τὰ Μακεδόνων τε καὶ Περσέως. ὁ μὲν δὴ ταῦτα ἔλεγεν ὑπὸ διδασκαλίᾳ τῇ Καλλικράτους· ἀναστὰς δὲ μετ' αὐτὸν[38] Ξένων, (οὗτος οὐκ ἐλαχίστου λόγου παρ' Ἀχαιοῖς) οὕτως, ἔφη,[39] κατὰ τὴν αἰτίαν ἔχει ταύτην· ἐστρατήγησα μὲν Ἀχαιῶν καὶ ἐγώ, ἀδικίας δὲ οὐδὲν ἐς[40] Ῥωμαίους οὔτε εὐνοίας μοι μέτεστιν ἐς Περσέα· καὶ τοῦδε εἵνεκα ἐθέλω μὲν ἐν συνεδρίῳ τῷ Ἀχαιῶν, ἐθέλω δὲ καὶ ἐν αὐτοῖς Ῥω-

ut capitalis rei damnarentur; se damnatos demum suo quemque nomine indicaturum. Id enimvero periniquum universae concioni videri; contendere, ut quos diceret Perseo favisse palam nominaret; ius omnino non esse quemquam condemnari cuius nondum esset nomen delatum. Ibi Romanus quum ab omnibus eius postulatio coargueretur, ex composito nominare non dubitavit omnes qui praetores Achaeorum exercitus duxissent; et omnes affirmare eam noxam commisisse, quod scilicet Persei partes fovissent. Haec ille a Callicrate subornatus. Tunc Xenon non minimae inter Achaeos auctoritatis vir: Quod ad hoc (inquit) crimen attinet, ipse etiam Achaeorum copiis praefui; sed neque ulla unquam Romanos in re laesi, neque ulla mihi omnino fuit cum Perseo amicitia; atque huius quidem criminis vel in Achaeorum conventu, vel in ipso Romanorum

33. συνάρεντο VbM.
34. εὑρεῖν VaM; ἔφασκεν Ag; post ἔφασκε iterum τὰ ὀνόματα inserit Va.
35. ὀνομμαστὶ αὐτῶν Vb (expuncto altero μ).
36. καταγινώσκειν SBVabMPcAg Lb; καταγιγνώσκειν rell. edd. La.
37. ἔνθα δὴ BPc*AgLab; in utroque V lectio ambigua; ἔνθα δὲ edd. rell. M(?). — ἐλέγχετο VaLb; sq. ὡς om. La; ἀνέχονται idem.
38. μήτ' αὐτὸν Vb; mox λόγου om. La; παρὰ ἀχ. AgLab; αὐχαιοῖς A.
39. οὕτως ἔφη· κατὰ C; οὐχ οὕτως, ἔφη coni. K, probante F. Tum ἔχοι Ag.
40. ἐς om. Va. Postea τῷ ἀχαιῷ La, idem deinde ὑπέσχειν.

μαίοις ὑπέχειν κρίσιν. ὁ μὲν δὴ ὑπὸ συνειδότος ἐπαῤ- 10
ῥησιάζετο[41] ἀγαθοῦ· ὁ δὲ ἐπελάβετο αὐτίκα ὁ Ῥωμαῖος
τῆς προφάσεως, καὶ ὁπόσοις Καλλικράτης ἐπῆγεν αἰτίαν
Περσεῖ σφᾶς φρονῆσαι τὰ αὐτὰ, ἀνέπεμπεν ἐν δικαστηρίῳ
κρίσιν τῷ Ῥωμαίων ὑφέξοντας· ὃ μή πω[42] κατειλήφει
πρότερον Ἕλληνας· οὐδὲ[43] γὰρ Μακεδόνων οἱ ἰσχύσαν-
τες μέγιστον, Φίλιππος Ἀμύντου καὶ Ἀλέξανδρος, τοὺς
ἀνθεστηκότας σφίσιν Ἑλλήνων ἐς Μακεδονίαν ἐβιάσαντο 549
ἀποσταλῆναι, διδόναι δὲ αὐτοὺς ἐν Ἀμφικτυόσιν εἴων
λόγον. τότε δὲ ἐκ τοῦ Ἀχαιῶν ἔθνους ὅντινα καὶ ἀναί- 11
τιον Καλλικράτης ἐθελήσειεν αἰτιάσασθαι, ἀνάγεσθαι
πάντα τινὰ ἐκεκύρωτο[44] ἐς Ῥώμην· καὶ ἐγένοντο ὑπὲρ
χιλίους οἱ ἀναχθέντες. τούτους ὑπὸ Ἀχαιῶν οἱ Ῥω-
μαῖοι προκατεγνῶσθαι νομίζοντες ἔς τε Τυρσηνίαν καὶ ἐς
τὰς ἐκεῖ διέπεμψαν πόλεις, καὶ Ἀχαιῶν ἄλλοτε ἄλλας ὑπὲρ

Senatu non dubitarim iudicium sustinere. Hoc a Xenone dictum ex innocentiae conscientia fidenter, arripuit Romanus tanquam accommodatum fraudi suae consilium. Quare quotcunque in proditionis crimen Callicrates vocarat, eos omnes Romam ad causam dicendam mitti imperat. Novum id fuit et inusitatum Graecis. Neque enim aut Philippus Amyntae filius, aut Alexander, qui Macedoniae regum longe potentissimi fuere, adversarios unquam suos e Graecia in Macedoniam disceptandi causa mitti postularunt; sed facile passi sunt, quibus de rebus ambigeretur ab Amphictyonibus cognosci. At Romani tunc Achaeorum quemcunque, cuius modo nomen Callicrates detulisset, nocentem innocentemve Romam edicto suo deduci imperarunt. Fuerunt qui deducti sunt plures fere quam mille: quos Senatus quasi Achaeorum praeiudicio damnatos in publicas custodias per Hetruriae oppida diviserunt. Alios deinde super alios ab Achaeis missos legatos et deprecatores

41. ἐπαρησιάζετο VabLb. Mox ἐπελάβετο B; ὑπελάβετο rell. edd. MPcVbAgLab; ὑπελάβε τὸ (sic) Va. Bekkeri emendationem probat Poppo; item S in Corrigendis T. IV affixis. Tum αὐ — ὁ ῥωμ. Va (αὐτίκα mutilum ob paginae finem et scripturam interruptam); articulum ὁ om. Vb. Deinceps καὶ πόσοις ἀκαλλίστοις ἐπῆγεν (sic) La; tum idem ἀνέπεμψεν — ἐφέξοντας.

42. ὃ οὔπω malit Poppo Chrestom. histor.

43. οὐδὲ B; οὔτε rell. edd. codd. Tum γὰρ παρὰ Μακ. Va (in hoc παραμακ.) bPcMAgLab. Porro τοὺς ἀθηναίους ἀνθεστηκότας σφ. ἑλλ. La; idem mox αὐτοῦ pro ἐκ τοῦ, et ἀνέτιον.

44. ἐκεκύροτο Vb. mox προκατεγνώσθω La; tum οὐ μόνον pro οἳ μόνον et ἀποχρῶνται, deinde ἔχοντο idem.

τῶν ἀνδρῶν πρεσβείας τε καὶ ἱκεσίας ἐπιπεμπόντων λόγον
12 ἐποιοῦντο οὐδένα. ἑπτακαιδεκάτῳ δὲ ὕστερον ἔτει τριακοσίους ἢ καὶ ἐλάσσονας, οἳ μόνοι περὶ Ἰταλίαν Ἀχαιῶν ἔτι ἐλείποντο, ἀφιᾶσιν, ἀποχρώντως κολασθῆναι σφᾶς ἡγούμενοι. ὅσοι δὲ ἀποδράντες ᾤχοντο ἢ εὐθὺς ἡνίκα ἀνήγοντο[45] ἐς Ῥώμην, ἢ ὕστερον ἐκ τῶν πόλεων ἐς ἃς ὑπὸ Ῥωμαίων ἐπέμφθησαν, πρόφασις οὐδεμία ἦν[46] τούτους ἁλόντας μὴ ὑποσχεῖν δίκην.

## CAPUT XI.

**Gallus a Romanis iudex in Graeciam missus plures civitates a conventu Achaeorum disiungit — de Atheniensium et Oropiorum contentionibus — Achaei Oropiis opem ferre decernunt.**

Ῥωμαῖοι δὲ αὖθις ἄνδρα ἐκ τῆς βουλῆς καταπέμπουσιν ἐς τὴν Ἑλλάδα· ὄνομα μὲν τῷ ἀνδρὶ ἦν Γάλλος,[1] ἀπέσταλτο δὲ Λακεδαιμονίοις καὶ Ἀργείοις ὑπὲρ γῆς ἀμφισβητουμένης γενέσθαι[2] δικαστής. οὗτος ὁ[3] Γάλλος ἐς τὸ Ἑλληνικὸν πολλὰ μὲν εἶπε πολλὰ δὲ καὶ ἔπραξεν[4] ὑπερήφανα, Λακεδαιμονίους δὲ καὶ Ἀργείους τὸ παράπαν ἔθετο

nihili omnino fecerunt. Post septimum ac decimum demum annum trecentos ferme viros atque eo etiam pauciores, qui ex omni Achaeorum numero reliqui erant in Italia, dimiserunt, satis iam eos poenarum dedisse rati. At eos qui effugere conati sunt vel ex ipso itinere antequam Romam perducerentur, vel ex iis in quas relegati fuerant urbibus, a fuga retractos nulla accepta excusatione capitali supplicio affecerunt.

Cap. XI. Miserunt etiam Romani ad dirimendas inter Lacedaemonios et Argivos de finibus controversias senatorium virum [Sulpicium] Gallum, qui multa et dixit et fecit insolenter et plane utramque civitatem ludibrio habuit. Namque

45. ἀπήγοντο Smai., vitio haud dubie typoth.
46. οὐ δὲ μία A; οὐδὲ μία XK. Mox ἑλόντας VaMLb; seq. μὴ om. VabPcAgLab.

Cap. XI. 1. γάλος La; ἀπέσταντο AgLa; tum δὲ καὶ Λακ. Va.
2. ὑπὲρ γῆς ἀμφ. γεν. coni. S; ὑπὲρ τῆς ἀμφ. γεν. BVaPcMLbAg; ὑπὲρ τῆς ἀμφ. γῆς γεν. rell. edd. VbLa.
. ὁ om. Va. Mox εἶπεν Ag.
4. πολλὰ δὲ κ. ἔπραξεν bis Va.

ἐν χλευασίᾳ· πόλεσι γὰρ ἐς τοσοῦτο[5] ἡκούσαις ἀξιώ- 2
ματος καὶ ὑπὲρ τῶν ὅρων τῆς χώρας τὰ μὲν παλαιότερα[6]
ἐς οὐκ ἀφανῆ πόλεμον καὶ ἔργα οὕτως ἀφειδῆ[7] προ-
αχθείσαις, κριθείσαις δὲ καὶ ὕστερον παρὰ δικαστῇ κοινῷ
Φιλίππῳ τῷ Ἀμύντου, αὐτὸς μέν σφισιν[8] ὁ Γάλλος ἀπη-
ξίωσε[9] δικαστὴς καταστῆναι, Καλλικράτει[10] δὲ ἁπάσης
τῆς Ἑλλάδος ἀνδρὶ ἀλάστορι ἐπιτρέπει τὴν κρίσιν. ἀφί-
κοντο δὲ ὡς τὸν Γάλλον[11] καὶ Αἰτωλῶν οἱ Πλευρῶνα οἰ- 550
κοῦντες, συντελείας τῆς ἐς[12] Ἀχαιοὺς ἐθέλοντες ἄφεσιν 3
εὕρασθαι. καὶ αὐτοῖς ἐπετράπη μὲν ὑπὸ τοῦ Γάλλου
πρεσβείαν ἐπὶ[13] σφῶν αὐτῶν ἰδίᾳ παρὰ Ῥωμαίους ἀπο-
στεῖλαι, ἐπετράπη[14] δὲ ὑπὸ Ῥωμαίων συνεδρίου Ἀχαιῶν
ἀποστῆναι. προσεπεστάλη[15] δὲ ὑπὸ τῆς βουλῆς τῷ Γάλ-

rerum gestarum gloria aliquando floruerant, quaeque de agrorum finibus magno et diutino bello certaverant eas hic dignas non putavit, quarum causam cognosceret, quum et Philippum antea Amyntae filium disceptatorem habuissent; sed eam Gallus cognitionem ad Callicratem impurissimum hominem cunctaeque Graeciae infensissimum reiecit. Praeterea quum Aetoli e Pleurone ad eum venientes seiungi se ab Achaeorum concilio postulassent, eis permisit ut suis propriis auspiciis legatos Romam mitterent. Est vero Senatus auctoritate eorum ab Achaeis defectio comprobata; et [Sulpicio] Gallo mandatum,

5. τοσοῦτο BPcLab; τοσούτο Vb; τοσοῦτον rell. tum ἡκούσαις Sylb. Palm. Ms. FCSBPc*AgLa; οἰκούσαις AXKVabMLb; seq. καὶ ὑπὲρ om. Vb.

6. παλαιώτερα Vb. seq. ἐς om. Va.

7. ἀφειδῆ BPc*AgLab; ἀφειδῶς rell. edd. MVab; — προςαχθείσαις La; κριθεῖσαι MVa; seq. καὶ om. Va.

8. σφισιν Sylb. FCSB; φησιν edd. rell. VabPcMAgLab.

9. ἀπηξήωσε Vb.

10. Καλλικράτης Va; seq. τῆς om. VaMLb.

11. γάλον Vb; sic solet.

12. ἐς om. Va; τοῖς ἐς ἀχαιοῖς La. — Recte deinde SB, monente Sylb., virgulam post Ἀχαιοὺς sustulerunt. Mox ἐθέλοντες ἄφεσιν Smai. BAg(?)PcdLa; ἐθέλοντες δὲ ἄφ. edd. rell.; Smin. δὲ uncis sepsit; ἐθέλων δὲ ἄφ. MVa; ἐθέλων τὴν δὲ ἄφ. Vb. Pro δὲ Sylb. malit δή. Nondum sanus videtur locus. — ἐπετράπομεν La.

13. ἐπὶ σφ. B, praeeunte Poppo. Chrest. hist. II, 198; ἀπὸ σφ. C Smai.; ὑπὲρ σφ. Vb, quod fortasse erat recipiendum; ὑπὸ σφ. edd. rell. AgPcMVaLab. — ἴδια La.

14. ἀπετράπη Vb. Mox melius fortasse τοῦ Ἀχαιῶν.

15. προσεπεστάλη Sylb., quod assentientibus KF. receperunt SB. προεστάλη Vb; προεπεστάλη edd. rell. VaPcMAgLb, προέπεστάλη La; idem γάλῳ.

λῳ πόλεις ὁπόσας ἐστὶν οἷός τε ὡς[16] πλείστας ἀφεῖναι[17] συλλόγου[18] τοῦ Ἀχαιῶν. ὁ μὲν δὴ τὰ ἐντεταλμένα ἐποίει.
4 (2) Ἀθηναίων δὲ ὁ δῆμος ἀνάγκῃ πλέον ἢ ἑκουσίως διαρπάζουσιν Ὠρωπὸν ὑπήκοόν σφισιν οὖσαν· πενίας γὰρ ἐς τὸ ἔσχατον Ἀθηναῖοι τηνικαῦτα[19] ἧκον ἅτε ὑπὸ Μακεδόνων πολέμῳ[20] πιεσθέντες μάλιστα Ἑλλήνων. καταφεύγουσιν οὖν ἐπὶ[21] τὴν Ῥωμαίων βουλὴν οἱ Ὠρώπιοι· καὶ δόξαντες παθεῖν οὐ δίκαια[22] ἐπεστάλη Σικυωνίοις ὑπὸ τῆς βουλῆς ἐπιβαλεῖν σφᾶς Ἀθηναίοις ἐς Ὠρωπίους[23] ζημίαν
5 κατὰ τῆς βλάβης ἧς ἦρξαν τὴν ἀξίαν.[24] Σικυώνιοι μὲν οὖν οὐκ ἀφικομένοις ἐς καιρὸν τῆς κρίσεως Ἀθηναίοις ζημίαν πεντακόσια τάλαντα ἐπιβάλλουσι·[25] Ῥωμαίων δὲ ἡ βουλὴ δεηθεῖσιν Ἀθηναίοις ἀφίησι πλὴν ταλάντων ἑκατὸν τὴν ἄλλην ζημίαν. ἐξέτισαν[26] δὲ οὐδὲ ταῦτα οἱ Ἀθη-

ut quam posset plurimas civitates ab Achaeorum conventu disiungeret; quod ille impigre effectum reddidit. (2) Interea quum Athenienses egestate potius, quam libera voluntate impulsi sociam civitatem Oropum diripuissent, nempe qui Macedonico bello rebus accisis Graecorum iam prope omnium essent egentissimi, Rom. Senatum Oropii appellarunt. Qui quum iniuriam factam illis censuisset, Sicyonios iussit ab Atheniensibus multam petere, quanti scilicet illatam Oropiis iniuriam ipsi aestimassent. Sicyonii, quum diem iudicii non obissent Athenienses, multam illis talentum quingentorum irrogarunt. Recusantes eam pendere Athenienses ad Senatum Rom. provocarunt; cuius decreto omnis ea multa ad C duntaxat talenta redacta est; quod ipsum etiam non est persolutum. Quin

16. οἷς τε ὡς MAg; οἷς τέως VaLb.

17. „Pro ἀφεῖσθαι non abs re malit aliquis ἀφεῖναι vel ἀφέσθαι.“ Sylb. „Nos prius illud praetulimus.“ S; at posterius praetulit; nos cum B. ἀφεῖναι recepimus; ἀφεῖσθαι rell. edd. codd.

18. συλλόγῳ VaMLab. Mox ὑπήκοον om. La.

19. ἐς τηνικαῦτα Va.

20. πολέμῳ Cor. S. ed. mai. B; πολέμου rell. edd. codd. Tum πισθέντες VbM; πεισθέντες Va.

21. ἐπὶ τὴν Steph. Byz. s. v. Ὠρωπὸς FCSB; ὑπὸ τὴν rell. edd. codd.; ὑπὸ τὴν ῥώμην βουλ. La. Mox ὀρώπιοι Vb; et eodem modo deinceps, mutato tamen spiritu. In seqq. praestat καὶ δόξαν παθεῖν.

22. δίκαια καὶ ἐπεστ. VaAgLb; ἐπεστήλη (?) σικιονήοις La; ἐπιβάλλειν VaPcAgLab, quod recipiendum fortasse.

23. ὠρωπίνας M; tum ζημίας S. ed. min. et mai., vit. typoth. ?

24. ἀναξίαν (?) M. sec. S. — ἐφικομένοις La.

25. ἐπιβάλλουσιν AgLa. Tum ἀθήνάι (sic) La; mox ἄλλην om. Lb.

26. ἐξέτι δὲ Va; ἐξέτησαν La; idem mox ὑπόσχεσιν.

ναῖοι, ἀλλὰ ὑποσχέσεσι καὶ δώροις ὑπελθόντες Ὠρωπίους
ὑπάγονται σφᾶς ἐς ὁμολογίαν, φρουράν τε Ἀθηναίων
ἐσελθεῖν[27] ἐς Ὠρωπὸν καὶ ὁμήρους λαβεῖν παρὰ Ὠρω-
πίων[28] Ἀθηναίους· ἢν δὲ αὖθις ἐς Ἀθηναίους γένηται
ἔγκλημα Ὠρωπίοις, τὴν φρουρὰν τότε ἀπάγειν παρ' αὐ-
τῶν Ἀθηναίους, ἀποδοῦναι δὲ καὶ ὀπίσω τοὺς ὁμήρους.
χρόνος τε δὴ[29] οὐ πολὺς ὁ μεταξὺ ἤνυστο καὶ τῶν φρου- 6
ρῶν[30] ἀδικοῦσιν ἄνδρες Ὠρωπίους. οἱ μὲν δὴ ἐς τὰς
Ἀθήνας ἀπέστελλον[31] ὁμήρους τε ἀπαιτήσοντας καὶ φρου- 551
ράν σφισιν ἐξάγειν κατὰ τὰ συγκείμενα ἐροῦντας·[32] Ἀθη-
ναῖοι δὲ οὐδέτερα ἔφασαν ποιήσειν, ἀνθρώπων γὰρ [τῶν][33]
ἐπὶ τῇ φρουρᾷ καὶ οὐ τοῦ Ἀθηναίων δήμου τὸ ἁμάρ-
τημα εἶναι· τοὺς μέντοι αὐτὰ εἰργασμένους[34] ἐπηγγέλ-
λοντο ὑφέξειν δίκην. (3) Οἱ δὲ Ὠρώπιοι κατέφευγόν[35] τε 7
ἐπὶ Ἀχαιοὺς τιμωρῆσαί σφισιν [ἐδέοντο]· Ἀχαιοῖς δὲ

Oropios tum promissis, tum muneribus delinitos adduxerunt Athenienses, ut obsidibus datis praesidium intra oppidum acciperent; ea tamen lege, ut si novae factae essent ab Atheniensibus iniuriae et praesidium quod imposuissent ultro deducerent, et obsides redderent. Non ita multo post a praesidiariis nonnullis in oppidanos iniuriae factae. Quocirca legatis Athenas missis contendebant Oropii, ut ex pacto convento et praesidium deduceretur et obsides redderentur. Verum non esse publicas illas populi iniurias Athenienses responderunt, sed paucorum qui in praesidio eo fuissent; et illos quam commeruissent poenam suscepturos. (3) At Oropii Achaeorum auxilium implorarunt. Quod quum illi ferendum non censerent, amicitiam

27. τ' εἰςελθεῖν Vb; ἐς ἐθέλειν ἐλθεῖν La.
28. παρὰ Ὠρ. AVabMAgLab; παρ' Ὠρ. rell. edd. Deinceps αὐτῶν ἀθηναίοις La.
29. δὲ δὴ οὐ M; χρόνος δὲ οὐ Va.
30. φρουρῶν [τινὲς] ἀδ. C. ἄνδρες Sylb. SB; ἄνδρας rell. edd. codd.
31. ἀπέστελον VbLa.
32. ἐροῦντες VaPcMAgLab. Tum οὐδέτερα om. La.
33. τῶν iubente Sylb. addunt SB. Rectius fortasse γάρ τινων. seq. οὐ om. VaM.
34. εἰργασμένους om. Pc. Deinde ἐπηγγέλοντο VabM. In La haec vox ambigua, ἐπάγγελοντες (?).
35. κατεφεόντε M (sec. S; in excerptis nostris sic: κατ α φε ύ γ ο ν τ ε ς, et in marg. ε ό τε, quod κατέφυγόν τε potius indicare videtur) κατέφευγόντε PcAgLab recep. B, uncis particulae τε additis; κατέφυγόν τε Va, haud male. καταφεύγοντες edd. rell. Vb. Mox ἐδέοντο om. BPcVaMAgLab. Locus est lacunosus.

*ἤρεσκε μὴ τιμωρεῖν φιλίᾳ τε καὶ αἰδοῖ τῇ Ἀθηναίων. ἐν-
ταῦθα οἱ Ὠρώπιοι Μεναλκίδᾳ,[36] Λακεδαιμονίῳ μὲν γένος,
στρατηγοῦντι δὲ ἐν τῷ τότε Ἀχαιῶν, ὑπισχνοῦνται δέκα
ταλάντων[37] δόσιν, ἤν σφισιν ἐπικουρεῖν Ἀχαιοὺς ἄγῃ·
ὁ δὲ ἀπὸ τῶν χρημάτων μεταδώσειν Καλλικράτει τὸ ἥμισυ
ὑπισχνεῖτο, ἰσχύοντι διὰ φιλίαν τὴν Ῥωμαίων ἐν Ἀχαιοῖς
8 μέγιστον. προσγενομένου δὲ τοῦ Καλλικράτους πρὸς
τὴν Μεναλκίδου γνώμην ἐκεκύρωτο κατὰ Ἀθηναίων ἀμύ-
νειν Ὠρωπίοις· καί τις ἐξαγγέλλει[38] ταῦτα ἐς τοὺς Ἀθη-
ναίους· οἱ δὲ ὡς ἕκαστος τάχους[39] εἶχεν ἐς τὸν Ὠρω-
πὸν ἐλθόντες καὶ αὖθις κατασύραντες εἴ τι[40] ἐν ταῖς
προτέραις παρεῖτό σφισιν[41] ἁρπαγαῖς, ἀπάγουσι τὴν
φρουράν. Ἀχαιοὺς δὲ ὑστερήσαντας[42] τῆς βοηθείας
Μεναλκίδας μὲν καὶ Καλλικράτης ἐσβάλλειν ἐς τὴν Ἀττι-
κὴν ἔπειθον, ἀνθισταμένων[43] δὲ ἄλλων τε αὐτοῖς καὶ
οὐχ ἥκιστα τῶν ἐκ Λακεδαίμονος, ἀνεχώρησεν[44] ὀπίσω
τὸ στράτευμα.*

quae sibi cum Atheniensibus intercedebat veriti, Menalcidae homini Spartano quidem, sed qui tunc copiis Achaeorum imperabat, x talenta se daturos pollicentur, si Achaeorum sibi auxilium praesto ut esset effecisset. Menalcidas quum intelligeret, magnas esse propter Romanorum amicitiam inter Achaeos Callicratis opes, cum illo aequa parte precium communicare pollicetur. Porro coniunctis studiis efficiunt, ut Oropiis adversus Athenienses auxilium decernatur. Id quum rescissent Athenienses, quanta maxime potuerunt celeritate Oropum adorti praedae superioris reliquiis, si quae forte supererant, asportatis, praesidium deducunt. Achaeis quum serius quam oportuerat auxilium misissent, persuadent Menalcidas et Callicrates, ut Atticam terram hostiliter invadant. Verum quum et ex aliis Graeciae partibus, et e Lacedaemone ad hostem repellendum auxilia convenissent, exercitum Achaei suum domum reportarunt.

36. *μὲν ἀλκίδα* PcAg; *μενελκίδα* Va.
37. *δὲ καταλάντων* ALb. Tum *δώσειν* Ag. — Postea *προςγενομένον* La.
38. *ἐξαγγέλει* AVabM; seq. *ἐς* om. Va.
39. *τάχος* Va.
40. *ἔτι* VaM.
41. *προτ. σφίσ. ἁρπ. παρεῖτο* AXKFC; ordo verborum receptus, est in SBVabPcMAgLab.
42. *ὑστερήσαντες* MVa; *ὑστερίσαντας* Lb. — *μεναλκίδης* Va; *μενάλκας* MAgLb; *μεναλκίδας* M marg.; seq. *καὶ* om. La.
43. *ἀνθισταμμένων* Vb. Tum *οὐχήκιστα* MLa, sic solent. — *ἐκ λακεδαιμονίων* La.
44. *ἀναχωρῆσαι* VaPcMAgLab.

# CAPUT XII.

Menalcidas Lacedaemonius perfidia superat Callicratem — Diaei fraude bellum inter Lacedaemonios et Achaeos conflatur, ad quod componendum senatus Romanorum legatos mittit.

Ὠρώπιοι δὲ καὶ ὠφελείας[1] σφίσιν οὐ γενομένης τῆς
παρὰ[2] Ἀχαιῶν ὅμως ὑπὸ Μεναλκίδα τὰ χρήματα ἐξεπρά-
χθησαν. ὁ δὲ ὡς τὸ δωροδόκημα εἶχεν ἐν χειρὶ[3] ἐποιεῖτο
συμφορὰν εἰ καὶ Καλλικράτει μεταδώσει τῶν λημμάτων.
τὰ μὲν δὴ πρῶτα ἀναβολαῖς καὶ ἀπάταις ἐχρῆτο ἐς τὴν
δόσιν, μετὰ δὲ οὐ πολὺ ἐτόλμησεν ἀποστερεῖν[4] ἐκ τοῦ
εὐθέος.[5] βεβαιοῖ δὴ τὸ λεγόμενον ὡς ἄρ᾽[6] ἦν καὶ πῦρ 2
ἐς πλέον ἄλλου πυρὸς καῖον καὶ λύκος ἀγριώτερος λύ- 552
κων ἄλλων, καὶ ὠκύτερος ἱέραξ ἱέρακος πέτεσθαι, εἴγε καὶ

Cap. XII. Ab Oropiis certe, etsi nulla ex parte ad eorum salutem quicquam profecerat Achaeorum societas, promissum tamen Menalcidas precium exegit. Quo ille accepto alienum omnino rationibus suis putavit, quaestus participem Callicratem facere. Quare hominem primum exspectationibus eludere, mox dolo circumvenire; postremo aperte etiam fraudare. Quae res vetus illud verum esse declaravit:

Et ignis est alio magis qui urat igne,
Lupisque saevior lupus est aliis,
Accipiter ocius accipitre volat,

Cap. XII. 1. Praestat καίπερ ὠφ. — ὠφελίας MAgLab.

2. παρ᾽ XKFC; παρ᾽ἀχρῶν (sic) [αι supra] La. — Praecedens τῆς expungendum vel post Ἀχαιῶν nomen quoddam, βοηθείας vel simile, inserendum videtur.

3. „ἐν χερὶ Aldina hinc existimo e Vindob. ἐν χερσὶν legendum esse.“ S. At ἐν χερὶ Vb; e Va nihil enotavimus, unde ἐν χειρὶ, ibi esse, ut in rell. edd. PcMAg, est suspicio; ἐν χερὶ etiam Lab.

4. ἀποστερεῖν — ἄλλον om. M.

5. εὐθέος Sylb. CSBPcdAg; εὐθέως rell. edd. LbVab. εὐθέως, o sup. ω, La. Cfr. Poppo ad Thuc. I, 34. Tum βεβ. δὲ Cor.

6. ὡς ἄρ᾽ Sylb. CSBPcdAgLab; ὡ ἄρ᾽ Vb; ὡς ἄρα FVa; ὡς ἀλλ᾽ rell. edd. Kuhnius eumque secuti in versus dispescunt hunc locum; ὡς ἄρ᾽ ἦν — καῖον | καὶ λύκος — ἄλλων | καὶ ὠκ. — πέτεσθαι | εἴγε — τῶν τότε | Μεναλκίδας — Καλλικράτην | ὃς κ. λ. Sic KFC. Aliter Cor., qui ὡς ἄρ᾽ ἦν ad praecedentia referens, sic distinguit: καὶ πῦρ — καῖον | καὶ λύκος — ἄλλων | καὶ ὠκ. — πέτεσθαι | εἴγε καὶ Καλλ. κ. λ. — ὠνύτερος La.

*Καλλικράτην*[7] *ἀνοσιώτατον τῶν τότε Μεναλκίδας ὑπερῆρεν*
*ἀπιστίᾳ, Καλλικράτην,*[8] *ὃς ἐλάσσων παντοίου λήμματος*
*καὶ ἐπὶ οὐδενὶ οἰκείῳ κέρδει πόλει τῇ Ἀθηναίων ἀπη-*
*χθημένος, παυσάμενον* [*μὲν*][9] *τῆς ἀρχῆς Μεναλκίδαν*[10]
*ἐδίωκεν ἐν τοῖς Ἀχαιοῖς θανάτου δίκην· πρεσβεῦσαί*[11] *τε*
*γὰρ Ἀχαιῶν ἐναντία ἔφασκεν αὐτὸν ἐς Ῥώμην καὶ ἐς*
*τὰ μάλιστα γενέσθαι πρόθυμον ἐξελέσθαι τὴν Σπάρ-*
3 *την συνεδρίου τοῦ*[12] *Ἀχαιῶν. ἐνταῦθα ὡς ἀφι-*
*κνεῖτο ἐς πᾶν ὁ Μεναλκίδας κινδύνου μεταδίδωσι*[13] *τά-*
*λαντα τρία τῶν ἐξ Ὠρωποῦ Μεγαλοπολίτῃ*[14] *Διαίῳ. ἐγε-*
*γόνει δὲ αὐτῷ καὶ ἀρχῆς διάδοχος τῆς Ἀχαιῶν ὁ Δίαιος·*[15]
*τότε δὲ ὑπὲρ τοῦ λήμματος προθυμούμενος ἔμελλε Μεναλ-*
*κίδᾳ καὶ ἀκόντων Ἀχαιῶν σωτηρίαν παρέξειν.*[16] *Ἀχαιοὶ*
*δὲ ἐπὶ μὲν τῇ*[17] *ἀφέσει τοῦ Μεναλκίδα ἰδίᾳ τε ἕκαστος*
*καὶ ἐν κοινῷ Δίαιον ἐποιοῦντο ἐν αἰτίᾳ.* (2) *Δίαιος δὲ*

Si Callicratem ipsum immaniorem ante alios superavit perfidia Menalcidas. Callicrates, uti homo erat, quum gratis habere se susceptas cum Atheniensibus inimicitias permoleste ferret, Menalcidan iam abeuntem magistratu capitis apud Achaeos arcessivit; crimini dabat, legatione apud Romanos contra Achaeos functum ac operam enixe dedisse, ut Spartanos ab Achaeis abduceret. Ibi Menalcidas quum se in fortunarum discrimen deductum videret, Diaeo homini Megalopolitano successori suo ex Oropica illa pecunia talenta elargitur tria. Hoc ille devinctus munere invitissimis fere Achaeis omnibus Menalcidan capitis periculo eximit. (2) Ea res quum Diaeo publice ac privatim

7. *εἴγε καλλικράτει* Va. Deinde *ἀνοσιωτάτον* (sic) Va; *ἀνοσιότατον* Vb. Mox post *Μεναλκίδας* delevimus *μὲν*, suadente Cor., uncis notant SB; in La bis scriptum, alterum expunctum est.

8. Post *Καλλικράτην* alii maiore, alii minore puncto distinguunt. „Interpretes post *ἀπιστίᾳ* periodum clausisse videntur et sequentem sic incepisse, *Καλλικράτης, ὡς ἐλάσσ.*“ Sylb. Porsonus vulgatae *ἀπιστίᾳ, Καλλικράτην, ὃς ἐλάσσων* adhaerens hic *ὢν* inseri voluit. Fortasse *ἀπιστίᾳ. Καλλικράτης ἐλάσσων ὢν* legendum est.“ S. „*Καλλικράτης δὲ, ὃς* (f. *ὢν* ou *ὡς*) *ἐλάσσων* —“ Cor. Locus vix sanus. — *οἰκίῳ κέρδει* La; idem *ἀπηχθησομένους*.

9. *μὲν* uncis includunt SB.

10. *μεναλκίδην* Va. Tum *ἐντὸς Ἀχαιοῖς* Vb.

11. *πρεσβαῖσαι* Va.

12. *τῶν Ἀχ.* Va. — Mox *ὁ μὲν ἀλκίδας* Lb.

13. *μεταδίδωσιν* Ag. Tum *ταλάντων* La; haud male. — *τῶν ἐξ* Sylb. Palm. Ms. SCBAm. La; *τῷ ἐξ* edd. codd. rell.

14. [*τῷ*] *Μεγαλ.* C; *Μεγαλοπολίτιδι ἐγεγ.* Vb. *διαίνῳ* La.

15. *ὁ δίκαιος* Ag.

16. *σωτ. πράξειν* B. e Pc. in quo *παρέχειν*
*πράξειν*; *παρέξειν* omnes rell.

17. *ἐπὶ τῇ μὲν* VabMLab; *τοῦ μεναλκέα* La; tum idem *τῶν ἐσκλημάτων*.

σφᾶς ἀπὸ τῶν ἐς αὐτὸν ἐγκλημάτων μετῆγεν[18] ἐς πρα-
γμάτων ἐλπίδα μειζόνων, προφάσει χρώμενος τοιᾶδε ἐς
τὴν ἀπάτην. Λακεδαιμόνιοι περὶ[19] ἀμφισβητησίμου χώ- 4
ρας καταφεύγουσιν ἐπὶ τὴν Ῥωμαίων βουλήν· καταφεύ-
γουσι δὲ αὐτοῖς προεῖπεν ἡ βουλὴ δικάζεσθαι τὰ ἄλλα
πλὴν ψυχῆς ἐν συνεδρίῳ τῷ[20] Ἀχαιῶν. ἡ μὲν δὴ ταῦτα
ἀπεκρίνατο· Δίαιος δὲ οὐ τὸν ὄντα ἔλεγεν Ἀχαιοῖς λόγον,
ψυχαγωγῶν δὲ αὐτοὺς ἔφασκε[21] παρὰ τῆς Ῥωμαίων σφί-
σιν ἐφεῖσθαι βουλῆς καὶ θάνατον ἀνδρὸς[22] καταγνῶναι
τῶν ἐκ Σπάρτης. οἱ μὲν δὴ δικάζειν Λακεδαιμονίοις 5
ἠξίουν[23] καὶ ὑπὲρ τῆς ἑκάστου ψυχῆς· Λακεδαιμόνιοι
δὲ οὔτε ἀληθῆ[24] συνεχώρουν Δίαιον λέγειν καὶ ἀνάγειν
ἤθελον ἐπὶ τὴν Ῥωμαίων βουλήν. Ἀχαιοὶ δὲ ἀντελαμ- 553
βάνοντο αὖθις ἄλλου λόγου, πόλεις ὅσαι τελοῦσιν ἐς
Ἀχαιοὺς μηδεμίαν ἐφ᾽ ἑαυτῆς καθεστηκέναι κυρίαν ἄνευ
τοῦ κοινοῦ τοῦ[25] Ἀχαιῶν παρὰ Ῥωμαίους ἰδίᾳ πρεσβείαν
ἀποστέλλειν. Πόλεμός τε δὴ ἀπὸ τῶν ἀμφισβητημάτων[26] 6
τούτων Ἀχαιοῖς καὶ Λακεδαιμονίοις ἤρχετο, καὶ Λακε-

magno esset probro, homo vafer avertendae invidiae causa ad maiorum negotiorum cogitationes et secundarum rerum spem Achaeorum animos erigit. Lacedaemonii suas de finibus agrorum controversias ad Rom. Senatum detulerant; Senatus omnia omnium rerum praeterquam capitis iudicia ad Achaeorum conventum reiecerat. At Diaeus gratioso mendacio multitudinis animos mulcens iudicio Achaeorum capitis etiam crimina permissa comminiscitur. Et Achaei quidem quum ei fidem habuissent de Spartanorum capitalibus causis iudicia facere aggressi sunt. Recusabant Lacedaemonii, et mendacii Diaeum arguentes rursus Rom. Senatum ea de re se per legatos consulturos aiebant. At Achaei hoc ipsum arripere et in crimen vocare, quum dicerent, earum urbium quae secum facerent nullam omnino sui esse iuris, aut posse earum aliquam privatim sine publico universi concilii decreto Romam legatos mittere. Ex his concertationibus belli causae inter Achaeos et Lacedae-

18. μετῆγον Va; μετῆγεν ἐς πραγμάτων om. Vb; κατῆγεν Lb.

19. ante περὶ inserunt δὲ VaM (falsa refert S.)

20. τῷ Ἀχ. SBM; τῶν Ἀχ. rell. edd. VabPcAgLab. Deinde ἡ μ. δὴ τ. ἀπεκρίνατο CBPc*Lab; οἱ — ἀπεκρίναντο rell. — δίκαιος La.

21. ἔφασκεν M.

22. ἀνδρῶν C.

23. ἰξίουν Va.

24. ἀληθεῖ Vb. mox pro Δίαιον id. δίκαιον.

25. τοῦ Ἀχ. BPc*AgLa; τῶν Ἀχ. edd. rell. MVabLb.

26. ἀμφισβημάτων Va.

δαιμόνιοι συνιέντες οὐκ ἀξιόμαχοι[27] πρὸς Ἀχαιοὺς εἶναι
πρεσβείαις ἐχρῶντο πρὸς τὰς πόλεις αὐτῶν καὶ ἰδίᾳ πρὸς
τὸν Δίαιον λόγοις. αἱ μὲν δὴ κατὰ τὰ αὐτὰ αἱ πόλεις
ἐποιοῦντο τὰς ἀποκρίσεις, οὗ σφισιν ἔξοδον ἐπαγγέλλον-
τος[28] στρατηγοῦ παρακούειν εἶναι νόμον· Δίαιος γὰρ
ἦρχε τῶν Ἀχαιῶν καὶ ἔφασκεν οὐ τῇ Σπάρτῃ, τοῖς δὲ τα-
7 ράσσουσιν αὐτὴν πολεμήσων ἀφίξεσθαι. ἐρομένων δὲ τῶν
γερόντων ὁπόσους ἡγοῖτο[29] ἀδικεῖν, ἐσπέμπει σφίσι τεσ-
σάρων ὀνόματα ἀνδρῶν καὶ εἴκοσι πρωτευόντων[30] τὰ
πάντα ἐν Σπάρτῃ. ἐνταῦθα Ἀγασισθένους[31] ἐνίκησε γνώ-
μη δοκίμου καὶ τὰ πρότερα[32] ὄντος, ἀπὸ δὲ τῆς παραι-
νέσεως ταύτης προελθόντος καὶ ἐς πλέον δόξης· ὃς τοὺς
ἄνδρας τούτους ἐκέλευσεν ἐκ Λακεδαίμονος ἐθελοντὰς
φεύγειν, μηδὲ αὐτοῦ μένοντας ἐργάσασθαι τῇ Σπάρτῃ
πόλεμον· φυγόντας δὲ ἐς Ῥώμην καταχθήσεσθαι[33] σφᾶς
8 οὐ μετὰ πολὺ ἔφασκεν ὑπὸ Ῥωμαίων. καὶ οἱ μὲν ἀπελ-
θόντες ὑπήγοντο ὑπὸ Σπαρτιατῶν ἐς δικαστήριον τῷ

monios exstitere. Satis intelligebant Spartani multo se esse Achaeis opibus inferiores. Quare dimissis per urbes quae Achaicae ditionis erant, ad ipsum etiam Diaeum privatim legatis, bellum deprecabantur. A civitatibus responsum tulere, quum iam praetor suus ut iuventutem armatam educerent denunciarit, oportere se dicto audientes esse; Praetor ipse Diaeus non Spartae aiebat se, sed iis qui eius civitatis otium turbarent bellum illaturum. Ac rogante Senatu quotnam esse putaret otii et tranquillitatis hostes, optimatum ille viginti quatuor nomina edidit. In ea rerum trepidatione probata est Agasisthenis sententia, hominis clari etiam prius et honorati, sed ad cuius laudes ex hoc ipso civibus suis dato consilio magnus accessit cumulus. Persuasit illis ipsis primoribus quos Diaeus Achaeis dedi postularet, ut voluntario exilio belli in patriam suam conflati incendium restinguerent; futurum enim ut si Romam confugerent, primo quoque tempore a Romanis restituerentur. Quum itaque exilii causa solum vertissent, per speciem a Spar-

27. ἀξιώμαχοι Ag. — Postea πρ. τ. δίκαιον La; mox μὲν δὴ καὶ κατὰ τὰ Lb.
28. ἐπαγγέλοντες Va; ἐπαγγέλοντος La; ἀπαγγέλλοντος Lb. — νόμων malit K. — Mox ἦρχεν Ag; εἶχε Lb; mox idem οὐ τῆς σπάρτῃ.
29. ἡγεῖτο Vab.
30. προτευόντων VbLa.
31. ἀγασθένους Va.
32. πρότερα BPc*La; πρότερον rell.
33. καταχθήσεται Ag; mox ἐπήγοντο idem.

λόγῳ καὶ ἀποθανεῖν ἦσαν κατεγνωσμένοι· ἀπεστάλησαν[34] δὲ καὶ ὑπὸ Ἀχαιῶν Καλλικράτης ἐς Ῥώμην καὶ Δίαιος τοῖς φεύγουσιν ἐκ[35] Σπάρτης ἀντιδικήσοντες ἐπὶ τῆς βουλῆς. καὶ αὐτῶν[36] ὁ μὲν κατὰ τὴν ὁδὸν[37] Καλλικράτης τελευτᾷ νόσῳ, οὐδὲ οἶδα εἰ ἀφικόμενος ἐς Ῥώμην ὠφέλησεν ἄν τι Ἀχαιοὺς ἢ κακῶν[38] σφίσιν ἐγένετο μειζόνων ἀρχή· Δίαιος δὲ ἐς ἀντιλογίαν Μεναλκίδᾳ[39] καταστὰς ἐπὶ τῆς βουλῆς πολλὰ μὲν εἶπε τὰ δὲ ἤκουσεν οὐ σὺν κόσμῳ. καί σφισιν ἀπεκρίνατο ἡ βουλὴ ἀποστελεῖν[40] πρέσ- 9
βεις, οἳ κρινοῦσιν ὅσα Λακεδαιμονίοις καὶ Ἀχαιοῖς διάφορα ἦν ἐς ἀλλήλους. καὶ τοῖς ἐκ Ῥώμης πρέσβεσι σχολαιοτέρα[41] πως ἐγίνετο ἡ ὁδὸς, ὥστ' ἐξαπατᾶν ὑπῆρχεν 554
ἐξ ἀρχῆς Διαίῳ τε Ἀχαιοὺς καὶ Μεναλκίδᾳ Λακεδαιμονίους. τοὺς μὲν δὴ παρῆγεν ὁ Δίαιος ὡς τὰ πάντα ἕπεσθαι[42] Λακεδαιμόνιοι σφίσιν ὑπὸ[43] τῆς Ῥωμαίων βουλῆς εἰσὶν ἐγνωσμένοι, Λακεδαιμονίους δὲ[44] ὁ Μεναλκί-

